lactucæ? obolo fortaſſean. Si quis igitur, tradens obolum, lactucas capiat; tu autem non tradens, non accipias, haud minus eo qui accepit te habere putes. Ut enim ille lactucas habet; ſic tu obolum non dediſti. Eodem modo & hic ſe res habet. Ad convivium alicujus non es vocatus? nimirum vocanti non dederas, quanti cœna venditur. Atqui laude eam vendit, miniſterio vendit. Da igitur pretium, ſi quidem tibi conducit, quod venditur. Quod ſi illa tradere non vis, & hæc accipere, inexplebilis es & ſtolidus. Nihil igitur habes pro cœna? Certè habes, quod non laudaris quem nolebas; quod ejus in ingreſſu inſolentiam non tolerâris.

CAPUT XXV.

Aturæ decretum addiſcere ex iis licet, de quibus inter nos non diſceptamus: ut, cum vicini poculum alius puer fregerit, promtum ſtatim eſt

θὺς λέγειν, ὅτι τῶν γινομένων ἐστίν. ἴσθι οὖν, ὅτι ὅταν καὶ τὸ σὸν κατεαγῇ, τοιοῦτον εἶναί σε δεῖ, ὁποῖον ὅτε καὶ τὸ τοῦ ἄλλου κατεάγη. οὕτω μετατίθει καὶ ἐπὶ τὰ μείζονα. τέκνον ἄλλου τέθνηκεν, ἢ γυνή; οὐδείς ἐστιν, ὃς οὐκ ἂν εἴποι, ὅτι ἀνθρώπινον. ἀλλ᾽ ὅταν τὸ αὐτοῦ τινος ἀποθάνῃ, εὐθύς· οἴμοι, τάλας ἐγώ. ἐχρῆν δὲ μεμνῆσθαι, τί πάσχομεν, περὶ ἄλλων αὐτὸ ἀκούσαντες.

ΚΕΦΑΛΑΙΟΝ κε.

Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται, οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται.

α. Εἰ μὲν τὸ σῶμά σου ἐπέτρεπέ τις τῷ ἀπαντήσαντι, ἠγανάκτεις ἄν· ὅτι δὲ σὺ τὴν γνώμην τὴν σαυτοῦ ἐπιτρέπεις τῷ τυχόντι, ἵνα ἐὰν λοιδορήσηταί σοι, ταραχθῇ ἐκείνη, καὶ συγχυθῇ, οὐκ αἰσχύνῃ; τούτου ἕνεκα, ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα αὐτοῦ, καὶ οὕτως ἔρχου ἐπ᾽ αὐτό. εἰ δὲ μὴ, τὴν μὲν πρώτην προ-

dicere; Ex iis hoc eſt quæ fiunt. Scito igitur, cum & tuum fractum fuerit, talem te eſſe oportere, qualis eras cum alterius frangeretur. Hoc ad majora transfer. Alterius obiit filius, aut uxor? Nemo eſt, quin dicat; Humanum eſt. At cum ſuus cujusque obiit, ſtatim; Hei mihi, me miſerum! Oportebat autem meminiſſe, quomodo adfecti ſimus, cum de aliis idem audimus.

CAPUT XXVI.

QUemadmodum ſcopus aberrandi cauſâ non ponitur; ſic nec mali natura in mundo exiſtit.

I. Si quis corpus tuum obvio concederet, indignareris: at quod mentem tuam cuivis concedis, ut cum convitiatur tibi, hæc turbetur, ac confundatur, non te pudet? Hac de cauſa cujusque operis antecedentia ſpecta, & conſequentia, & ſic illud adgredere. Id niſi feceris, alacriter primum

θύμως ἥξεις, μηδὲν τῶν ἑξῆς ἐντεθυμημένος· ὕστερον δὲ, ἀναφανέντων τινῶν αἰσχρῶν, αἰσχυνθήσῃ.

β. Θέλεις ὀλύμπια νικῆσαι; κἀγὼ, νὴ τοὺς θεούς· κομψὸν γάρ ἐστιν. ἀλλὰ σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα· καὶ οὕτως ἅπτου τοῦ ἔργου. δεῖ σ' εὐτακτεῖν, ἀναγκοφαγεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην, ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει, μὴ ψυχρὸν πίνειν, μὴ οἶνον, ὡς ἔτυχεν. ἁπλῶς, ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ, εἶτα εἰς τὸν ἀγῶνα παρέρχεσθαι. ἔστι δ' ὅτε χεῖρα βαλεῖν, σφυρὸν στρέψαι, πολλὴν ἁφὴν καταπιεῖν. ἔσθ' ὅτε μαστιγωθῆναι, καὶ μετὰ ταῦτα πάντα νικηθῆναι. ταῦτα πάντα ἐπισκεψάμενος, ἐὰν ἔτι θέλῃς, ἔρχου ἐπὶ τὸ ἀθλεῖν. εἰ δὲ μὴ, ὡς τὰ παιδία ἀναστραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς παίζει, νῦν δὲ αὐλητὰς, νῦν δὲ μονομάχους, εἶτα σαλπίζει, εἶτα τραγῳδεῖ. οὕτω καὶ σύ· νῦν μὲν ἀθλητὴς, νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος· ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν· ἀλλ' ὡς

accedes, nihil de iis cogitans quæ consequentur. Postea verò, ubi turpia quædam adparuerint, desistes.

II. Vis Olympiis certaminibus vincere? Et ego, per Deos. gloriosum quippe est. Sed specta antecedentia, & consequentia; & sic opus adgredere. Oportet te ordine omnia agere; coactum edere; abstinere cupediis; ex necessitate exerceri, constitutâ horâ, in æstu, in frigore; frigidam non bibere, non vinum ut libuerit; ut verbo dicam, magistro, tanquam medico, teipsum tradere oportet; deinde in certamen prodire: ubi aliquando manum elides, malleolum luxabis, multum pulveris degluties; interdum & flagris cædéris; post hæc denique omnia vincêris. His omnibus consideratis, si adhuc velis, ad athletas te confer: sin minus, puerorum instar circumagéris, qui nunc luctatores lusu imitantur, nunc tibicines, nunc gladiatores; deinde tuba canunt, mox tragœdum agunt. Sic quoque tu, nunc athleta es, mox gladiator; nunc orator, deinde philosophus; toto autem animo nihil; sed tanquam

πίθηκος, πᾶσαν θέαν, ἐὰν ἴδῃς, μιμῇ, καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει. οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπί τι, οὐδὲ περιοδεύσας· ἀλλ' εἰκῆ, καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν. οὕτω θεασάμενοί τινες φιλόσοφον, καὶ ἀκούσαντες οὕτω τινὸς λέγοντος, ὡς εὐφράτης λέγει· καί τοι τίς οὕτω δύναται εἰπεῖν, ὡς ἐκεῖνος; θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν. ἄνθρωπε, πρῶτον ἐπίσκεψαι, ὁποῖόν ἐστι τὸ πρᾶγμα· εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε, εἰ δύνασαι βαστάσαι. πένταθλος εἶναι βούλει, ἢ παλαιστής; ἴδε σεαυτοῦ τοὺς βραχίονας, τοὺς μηρούς, τὴν ὀσφῦν κατάμαθε. ἄλλο γὰρ πρὸς ἄλλο πέφυκε. δοκεῖς, ὅτι ταῦτα ποιῶν, ὡσαύτως δύνασαι ἐσθίειν, ὡσαύτως πίνειν, ὁμοίως δυσαρεστεῖν. ἀγρυπνῆσαι δεῖ, πονῆσαι, ἀπὸ τῶν οἰκείων ἀπελθεῖν, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ἐν παντὶ ἧττον ἔχειν, ἐν τιμῇ, ἐν ἀρχῇ, ἐν δίκῃ, ἐν πραγματίῳ παντί. ταῦτα ἐπίσκεψαι, εἰ θέλεις ἀντικαταλλάξασθαι τούτων ἀπάθειαν, ἐλευθερίαν, ἀταραξίαν. εἰ δὲ μή, πρόσεχε μὴ ὡς τὰ παι-

ſimius, quodcunque videris, imitaris, aliudque ex alio tibi placet. Nec enim cum conſideratione ad aliquid veniſti, nec ut qui animo id perluſtrârit; ſed temere, & ex frigida cupiditate. Sic quidam, cum philoſophum viderunt, & aliquem audiverunt ita diſſerentem, ut Euphrates diſſerit; quanquam quis ita dicere poteſt? volunt & ipſi philoſophari. Homo, primum conſidera, cujusmodi ſit res: deinde & naturam tuam inſpice, num ferre poſſis. Quinquertio eſſe vis, aut luctator? adſpice brachia tua, & femora; lumbos conſidera. aliud enim alii naturâ aptum exiſtit. Putásne, te hæc facientem eodem modo poſſe edere, eodem modo bibere, ſimiliter faſtidire. Vigilare oportet, laborare, à familiaribus diſcedere, à ſervulo contemni; ubique inferiorem eſſe, in honore, in magiſtratu, in judicio, in omni negotiolo. Hæc verò conſidera, num pro his perturbationum vacuitatem, libertatem, tranquillitatem, permutare velis. Quod ſi nolis, cave, ne pue-

δία, νῦν φιλόσοφος, ὕστερον δὲ τελώνης, εἶτα ῥήτωρ, εἶτα ἐπίτροπος καίσαρος γένῃ. ταῦτα οὐ συμφωνεῖ. ἕνα σε δεῖ ἄνθρωπον, ἢ ἀγαθὸν, ἢ κακὸν εἶναι. ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ σαυτοῦ, ἢ τὰ ἐκτός· ἢ περὶ τὰ ἔσω φιλοτεχνεῖν, ἢ περὶ τὰ ἔξω· τουτέστιν, ἢ φιλοσόφου στάσιν ἔχειν, ἢ ἰδιώτου.

ΚΕΦΑΛΑΙΟΝ κζ.

ΤΑ' καθήκοντα, ὡς ἐπίπαν ταῖς σχέσεσι παραμετρεῖται. πατήρ ἐστιν; ὑπαγορεύεται, ἐπιμελεῖσθαι, παραχωρεῖν ἁπάντων, ἀνέχεσθαι λοιδοροῦντος, παίοντος. ἀλλὰ πατὴρ κακός ἐστι. μήτι οὖν πρὸς ἀγαθὸν πατέρα φύσει ᾠκειώθης; οὔ· ἀλλὰ πρὸς πατέρα. ὁ ἀδελφὸς ἀδικεῖ; τήρει τοιγαροῦν τὴν τάξιν τὴν σεαυτοῦ πρὸς αὐτὸν, μηδὲ σκόπει τί ἐκεῖνος ποιεῖ, ἀλλὰ τί σοι ποιήσαντι, κατὰ φύσιν ἡ σὴ ἕξει προαίρεσις. σὲ γὰρ ἄλλος οὐ βλάψει, ἂν μὴ σὺ θέλῃς. τότε δὲ ἔσῃ βεβλαμμένος, ὅταν ὑπολά-

rorum inſtar, nunc philoſophus, deinde publicanus, poſtea orator, denique cæſaris procurator fias. Hæc inter ſe non conſonant. Unum te hominem, aut bonum, aut malum, eſſe oportet: aut principalem tui partem te excolere oportet, aut externa: aut circa interiora occupari, aut circa exteriora; hoc eſt, aut philoſophi ſtatum habere, aut plebeji.

CAPUT XXVII.

OFficia in univerſum relationibus menſurantur. Pater eſt? Dictatur, curam ipſius eſſe agendam, cedendum ei in omnibus; ferendum eſſe ſi convitietur, aut verberet. Sed pater malus eſt. Numquid igitur bonum patrem natura tibi proprium dicavit? Non; ſed patrem. Frater injurius eſt? Serva igitur quam relationem ad ipſum obtines, nec ſpecta quid ille faciat, ſed quid tibi facturo propoſitum tuum ſecundùm naturam adfectum erit. Te quippe alius non lædet, niſi tu velis. Tunc autem læſus eris, cùm te

βης βλάπτεσθαι. οὕτως οὖν ἀπὸ τοῦ γείτονος, ἀπὸ τοῦ πολίτου, ἀπὸ τοῦ στρατηγοῦ, τὸ καθῆκον εὑρήσεις· ἐὰν τὰς σχέσεις ἐθίζῃς θεωρεῖν.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ.

Τῆς περὶ τοὺς θεοὺς εὐσεβείας, ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνό ἐστιν· ὀρθὰς ὑπολήψεις περὶ αὐτῶν ἔχειν, ὡς ὄντων, καὶ διοικούντων τὰ ὅλα καλῶς καὶ δικαίως. καὶ σαυτὸν εἰς τοῦτο κατατεταχέναι, τὸ πείθεσθαι αὐτοῖς, καὶ εἴκειν ἐν πᾶσι τοῖς γινομένοις, καὶ ἀκολουθεῖν ἑκόντα ὡς ὑπὸ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις. οὕτω γὰρ οὔτε μέμψῃ ποτὲ τοῖς θεοῖς, οὔτ᾽ ἐγκαλέσεις, ὡς ἀμελούμενος. ἄλλως τε οὐχ οἷόν τε τοῦτο γίνεσθαι, ἐὰν μὴ ἀποστῇς τῶν οὐκ ἐφ᾽ ἡμῖν, καὶ ἐν τοῖς ἐφ᾽ ἡμῖν μόνοις θῇς τὸ ἀγαθὸν, καὶ τὸ κακόν. ὡς ἄν γε τι ἐκείνων ὑπολάβῃς ἀγαθὸν ἢ κακὸν, πᾶσα ἀνάγκη, ὅταν ἀποτυγχάνῃς ὧν θέλεις, καὶ περιπίπτῃς οἷς μὴ θέλεις, μέμψασθαί σε, καὶ μισεῖν τοὺς αἰτίους. πέφυκε γὰρ πρὸς

lædi putâris. Sic igitur à vicino, à cive, ab imperatore, officium invenies, si relationes considerare adsueveris.

CAPUT XXVIII.

PIetatis erga deos id præcipuum esse scito, rectas opiniones de illis habere, tanquam qui existant, & universa bene ac juste administrent: & ad hoc te ordinatum esse, ut illis pareas, & cedas in omnibus quæ fiunt, eáque voluntarius sequaris, ut quæ optimo consilio perficiantur. Sic enim nec culpabis unquam deos, nec incusabis, quasi neglectus. Quod quidem aliter fieri nequit, quam si ab iis desistas, quæ in nostra potestate non sunt, & in iis solis, quæ sunt in nostra potestate, bonum ac malum ponas: adeò ut, si quid illorum bonum aut malum opineris, omnino necesse sit, cum iis excideris quæ velis, & in ea, quæ nolis, incideris, te culpare & odisse auctores. Ad hoc enim

τοῦτο πᾶν ζῶον, τὰ μὲν βλαβερὰ φαινόμενα, καὶ τὰ αἴτια αὐτῶν, φεύγειν καὶ ἐκτρέπεσθαι· τὰ δὲ ὠφέλιμα, καὶ τὰ αἴτια αὐτῶν, μετιέναι καὶ τεθαυμακέναι. ἀμήχανον οὖν, βλάπτεσθαί τινα οἰόμενον, χαίρειν τῷ δοκοῦντι βλάπτειν· ὥσπερ καὶ τὸ αὐτῇ τῇ βλάβῃ χαίρειν, ἀδύνατον. ἔνθεν καὶ πατὴρ ὑπὸ υἱοῦ λοιδορεῖται, ὅταν τῶν δοκούντων ἀγαθῶν εἶναι, τῷ παιδὶ μὴ μεταδιδῷ. καὶ πολυνείκην καὶ ἐτεοκλέα τοῦτο πολεμίους ἀλλήλοις ἐποίησε, τὸ ἀγαθὸν οἴεσθαι τὴν τυραννίδα. διὰ τοῦτο ὁ γεωργὸς λοιδορεῖ τοὺς θεοὺς, διὰ τοῦτο ὁ ναύτης, διὰ τοῦτο ὁ ἔμπορος, διὰ τοῦτο οἱ τὰς γυναῖκας καὶ τὰ τέκνα ἀπολλύντες. ὅπου γὰρ τὸ συμφέρον, ἐκεῖ καὶ τὸ εὐσεβές. ὥστε ὅστις ἐπιμελεῖται τοῦ ὀρέγεσθαι ὡς δεῖ, καὶ ἐκκλίνειν, ἐν τῷ αὐτῷ καὶ εὐσεβείας ἐπιμελεῖται. Σπένδειν δὲ καὶ θύειν, καὶ ἀπάρχεσθαι κατὰ τὰ πάτρια, ἑκάστοις προσήκει καθαρῶς, καὶ μὴ ἐπισεσυρμένως, μηδὲ ἀμελῶς, μηδὲ γλίσχρως, μηδὲ ὑπὲρ δύναμιν.

naturâ factum est omne animal, ut quæ nocentia videantur, eorumque caufas, fugiat, & averfetur: illa autem quæ profunt, eorumque caufas perfequatur, & admiretur. Quare fieri nequit, ut, qui fe lædi putet, eo, quod lædere videtur, gaudeat: ficut nec ipfo detrimento gaudere ullo modo poffumus. Hinc quoque pater conviciis à filio profcinditur, cum his, quæ bona effe videntur, filium non impertit. Et Polynicen atque Eteoclem hoftili animo hoc inter fe diffidere fecit, quod tyrannidem bonum effe putarent. Propter hoc agricola deos execratur, propter hoc nauta, propter hoc mercator, propter hoc qui uxores & liberos amifére. Ubi enim commodum, ibi & pietas. Quare quisquis curat, ut, ficut oportet, adpetat & declinet; hoc eodem pietatis quoque curam habet. Libare autem, & facrificare, & primitiàs offerre, fecundum ritus patrios, omnibus convenit, purè, & non fordidè, nec negligenter; nec parcè, nec fupra facultates.

ΚΕΦΑΛΑΙΟΝ κθ.

Ὅταν μαντικῇ προσίῃς, μέμνησο, ὅτι μὲν, ὡς ἀποβήσεται, οὐκ οἶδας· ἀλλὰ ἥκεις, ὡς ἀπὸ τοῦ μάντεως ἀποπευσόμενος. ὁποῖον δὲ τί ἐστιν, ἐλήλυθας εἰδὼς, εἴπερ εἶ φιλόσοφος. εἰ γὰρ ἐστι τι τῶν οὐκ ἐφ᾽ ἡμῖν, πᾶσα ἀνάγκη μήτε ἀγαθὸν αὐτὸ εἶναι, μήτε κακόν. μὴ φέρε οὖν πρὸς τὸν μάντιν, ὄρεξιν, ἢ ἔκκλισιν· εἰ δὲ μὴ, τρέμων αὐτὸν προσέσει. ἀλλὰ διεγνωκὼς, ὅτι πᾶν ἀποβησόμενον, ἀδιάφορον, καὶ οὐδὲν πρὸς σὲ, ὁποῖον δ᾽ ἂν ᾖ· ἔσται γὰρ αὐτῷ χρήσασθαι καλῶς, καὶ τοῦτο οὐθεὶς κωλύσει· θαῤῥῶν οὖν, ὡς ἐπὶ συμβούλους ἔρχου ἐπὶ θεούς. καὶ λοιπὸν, ὅταν τι συμβουλευθῇ, μέμνησο τίνας συμβούλους παρέλαβες, καὶ τίνων παρακούσῃς ἀπειθήσας. ἔρχου δὲ ἐπὶ τὸ μαντεύεσθαι, καθάπερ ἠξίου Σωκράτης, ἐφ᾽ ὧν ἡ πᾶσα σκέψις τὴν ἀναφορὰν εἰς τὴν ἔκβασιν ἔχει, καὶ οὔτε ἐκ λόγου, οὔτε ἐκ τέχνης τινὸς ἄλλης ἀφορμαὶ δίδονται πρὸς

CAPUT XXIX.

CUm ad vatem accedis, memento ignorare te, quem eventum res habitura ſit; venire autem, ut ex vate hoc audias. At, quale id ſit quod eventurum eſt, ſciebas, ſi quidem philoſophus es, cùm accederes. Si enim aliquid ex iis ſit, quæ in noſtra poteſtate non exiſtunt, neceſſe omnino eſt, neque bonum id eſſe, neque malum. Ad vatem igitur adpetitionem, aut declinationem, ne adferas; alioqui tremens eum accede: ſed cum certò nôris, quidquid eventurum eſt, indifferens eſſe, & nihil ad te attinere: eo enim bene uti licebit, neque hoc quisquam vetabit: idcirco confidens ad deos, tanquam conſiliarios, adi. Cæterum ubi aliquid conſultum fuerit, memento quos conſiliarios adſumſeris, & quibus inobediens futurus ſis, ſi non parueris. De his autem vatem conſulturus veni, de quibus omnis conſultatio relationem habet ad eventum, cum nec ex ratione, nec ex ulla arte occaſiones dantur

τὸ συνιδεῖν τὸ προκείμενον. ὥστε ὅταν δέῃ συγκινδυνεῦσαι φίλῳ, ἢ πατρίδι, μὴ μαντεύεσθαι, εἰ συγκινδυνευτέον. καὶ γὰρ ἂν προσείπῃ σοι ὁ μάντις, φαῦλα γεγονέναι τὰ ἱερὰ, δῆλον ὅτι ὁ θάνατος σημαίνεται, ἢ πήρωσις μέρους σώματος, ἢ φυγή. ἀλλ᾽ ἔνι λόγος, καὶ σὺν τούτοις παρίστασθαι τῷ φίλῳ, καὶ πατρίδι συγκινδυνεύειν. τοιγαροῦν τῷ μείζονι μάντει πρόσεχε, τῷ πυθίῳ, ὃς ἐξέβαλε τοῦ ναοῦ, τὸν οὐ βοηθήσαντα ἀναιρουμένῳ τῷ φίλῳ.

ΚΕΦΑΛΑΙΟΝ λ.

ΤΑ'ξον τινὰ ἤδη χαρακτῆρα σαυτῷ, καὶ τύπον, ὃν φυλάξεις ἐπί τε σεαυτοῦ ὢν, καὶ ἀνθρώποις ἐντυγχάνων.

α. Καὶ σιωπὴ τὸ πολὺ ἔσω· ἢ λαλείσθω τὰ ἀναγκαῖα, καὶ δι᾽ ὀλίγων. σπανίως δέ ποτε καιροῦ παρακαλοῦντος, ἐπὶ τὸ λέγειν τι ἥξομεν, ἀλλὰ περὶ οὐδενὸς τῶν τυχόντων· μὴ περὶ μονομάχων, μηδὲ περὶ ἱπποδρομιῶν, μὴ περὶ ἀθλη-

ad cognoſcendum id quod proponitur. Quare, quando unà cum amico, aut patria, periculum ſubeundum, vates non eſt conſulendus; num periculum unà ſubeundum ſit. Etenim ſi tibi vates dixerit, prava fuiſſe ſacra, manifeſtum, aut mortem ſignificari, aut membri alicujus truncationem, aut exilium. Ratio autem adeſt, etiamſi hæc eventura ſint, cum amico, aut patria ſubeundum eſſe periculum. Ideoque majorem vatem, Pythium, attende, qui illum è templo ejecit, qui amico, cùm interficeretur, opem non tulerat.

CAPUT XXX.


Onſtitue jam tibi figuram aliquam, & formam, quam, cum & ſolus es, & cum homines convenis, obſerves.

I. Et quidem ſilentium tene plurimùm; aut neceſſaria loquere, & paucis. Rarò autem, occaſione quandoque invitante, ad dicendum aliquid veniemus: verùm non de quibusvis rebus; non de gladiatoribus, non de ludis Circenſibus, non de athle-

τῶν, μὴ περὶ βρωμάτων, ἢ πομάτων, τῶν ἑκασταχοῦ λεγομένων. μάλιστα δὲ, μὴ περὶ ἀνθρώπων λέγοντες, ἢ ἐπαινοῦντες, ἢ συγκρίνοντες.

β. Ἂν μὲν οὖν οἷός τε ᾖς, μέταγε τοῖς σοῖς λόγοις τοὺς τῶν συνόντων ἐπὶ τὸ προσῆκον. εἰ δὲ ἐν ἀλλοφύλοις ἀπολειφθεὶς τύχοις, σιώπα.

γ. Γέλως μὴ πολὺς ἔστω, μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένος.

δ. Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε, εἰς ἅπαν· εἰ δὲ μὴ, ἐκ τῶν ἐνόντων.

ε. Ἑστιάσεις τὰς ἔξωτικὰς, καὶ ἰδιωτικὰς, διακρούου. ἐὰν δέ ποτε γένηται καιρὸς, ἐντετάσθω σοι ἡ προσοχὴ, μήποτε ἄρα ὑπορρυῇς εἰς ἰδιωτισμόν. ἴσθι γὰρ, ὅτι ἐὰν ὁ ἑταῖρος ᾖ μεμολυσμένος, καὶ τὸν συναναλειβόμενον αὐτῷ, μολύνεσθαι ἀνάγκη, κἂν αὐτὸς ὢν τύχῃ καθαρός.

ϛ. Τὰ περὶ τὸ σῶμα, μέχρι τῆς χρείας ψιλῆς παραλάμβανε· οἷον, τροφὰς, πόμα, ἀμ-

tis, non de cibis aut potionibus, quæ vulgò in ſermonem veniunt; maximè autem nihil de hominibus dicemus, aut laudando illos, aut inter ſe comparando.

II. Si igitur poſſis, ſermonibus tuis illorum qui tecum ſunt ſermones ad decentem modum traducito. Quod ſi inter extraneos derelictus fueris, tace.

III. Riſus neque multus ſit, neque ob multa, neque ſolutus.

IV. Jusjurandum recuſa, ſi fieri poteſt, prorſus: ſin minus, ſuper quibuslibet rebus.

V. Convivia extranea & vulgaria reſpue. Quod ſi quando tempus incidat, attentio tibi excitetur, ne in vulgarem ſtatum prolabaris. Scias enim, ſi ſocius pollutus fuerit, etiam converſantem cum eo pollui neceſſe eſſe, quamvis hic purus fuerit.

VI. Ea quæ ad corpus pertinent, ad nudum uſum adſume: ut, cibos, potum, ve-

πεχόνην, οἰκίαν, οἰκετίαν· τὸ δὲ πρὸς δόξαν, ἢ τρυφὴν, ἅπαν περίγραφε.

ζ. Περὶ ἀφροδίσια, εἰς δύναμιν, πρὸ γάμου καθαρευτέον· ἁπτομένῳ δὲ, ὡς νόμιμόν ἐστι, μεταληπτέον. μὴ μέντοι ἐπαχθὴς γίνου τοῖς χρωμένοις, μηδὲ ἐλεγκτικός· μηδὲ πολλαχοῦ τὸ, ὅτι αὐτὸς οὐ χρῆ, παράφερε.

η. Ἐάν τίς σοι ἀπαγγείλῃ, ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα· ἀλλ' ἀποκρίνου, ὅτι ἠγνόει γὰρ τὰ ἄλλα προσόντα μοι κακὰ, ἐπεὶ οὐκ ἂν ταῦτα μόνα ἔλεγεν.

θ. Εἰς τὰ θέατρα τὸ πολὺ παριέναι, οὐκ ἀναγκαῖον. εἰ δέ ποτε καιρὸς εἴη, μηδενὶ σπουδάζων φαίνου ἢ σεαυτῷ· τουτέστι, θέλε γίνεσθαι μόνα τὰ γινόμενα, καὶ νικᾶν μόνον τὸν νικῶντα. οὕτω γὰρ οὐκ ἐμποδισθήσῃ. βοῆς δὲ καὶ τοῦ ἐπιγελᾶν τινι, ἢ ἐπιπολὺ ἐπικινεῖσθαι, παντελῶς ἀπέχου. καὶ μετὰ τὸ ἀπαλλαγῆναι, μὴ πολλὰ περὶ τῶν γενομένων διαλέγου, ὅσα μὴ φέρει πρὸς

ſtitum, domum, familiam. Id autem omne, quod ad oſtentationem, aut delicias pertinet, circumſcribe.

VII. Circa rem veneream, quantum fieri poteſt, ante nuptias purum eſſe oportet: qui autem hanc attingit, prout lège conſtitutum eſt, percipere debet. Ne ſis tamen moleſtus utentibus, neque eos redarguas; neque ſæpius objice, te non uti.

VIII. Si quis tibi nunciet: Hic tibi maledicit; ne refuta ea quæ dicta ſunt, ſed reſponde: Ignorabat enim cætera quæ mihi adſunt vitia, alioqui non ſola hæc dixiſſet.

IX. In theatra ſæpe prodire, non eſt neceſſe. Quod ſi quando tempus incidat, nulli ſtudere videaris præterquam tibi; hoc eſt, velis fieri ſola ea quæ fiunt, & vincere ſolum qui vincit. Sic enim non impediéris. Adclamatione autem, & riſu ſuper aliqua re, aut diuturniore commotione, penitus abſtine. Et poſtquam diſceſſiſti, multa de iis quæ facta ſunt ne diſſere, quæ ad

τὴν σὴν ἐπανόρθωσιν. ἐμφαίνεται γὰρ ἐκ τοῦ τοιούτου, ὅτι ἐθαύμασας τὴν θέαν.

ι. Εἰς ἀκροάσεις τινῶν μὴ ἧκε· μηδὲ ῥᾳδίως πάρισθι. παριὼν δὲ, τὸ σεμνὸν, καὶ εὐσταθὲς, καὶ ἅμα ἀνεπαχθὲς φύλαττε.

ια. Ὅταν τινὶ μέλλῃς συμβάλλειν, μάλιστα τῶν ἐν ὑπεροχῇ δοκούντων, πρόβαλε σαυτῷ, τί ἂν ἐποίησεν ἐν τούτῳ Σωκράτης, ἢ Ζήνων· καὶ οὐκ ἀπορήσεις, τοῦ χρήσασθαι προσηκόντως τῷ ἐμπεσόντι.

ιβ. Ὅταν φοιτᾷς πρός τινα τῶν μέγα δυναμένων, πρόβαλε, ὅτι οὐχ εὑρήσεις αὐτὸν ἔνδον, ὅτι ἀπεκλείσθη, ὅτι οὐκ ἀνοιχθήσονταί σοι αἱ θύραι, ὅτι οὐ φροντιεῖ σου. κἂν σὺν τούτοις ἐλθεῖν καθήκῃ, φέρε τὰ γινόμενα, καὶ μηδέποτε εἴπῃς αὐτὸς πρὸς σεαυτὸν, ὅτι οὐκ ἦν τοσούτου. ἰδιωτικὸν γὰρ, καὶ διαβεβλημένου πρὸς τὰ ἐκτός.

ιγ. Ἐν ταῖς ὁμιλίαις ἀπέστω, τὸ τινὰ τῶν ἑαυτοῦ ἔργων, ἢ κινδύνων, ἐπὶ πολὺ καὶ ἀμέτρως μεμνῆσθαι. οὐ γὰρ ὡς σοὶ ἡδύ ἐστι τὸ τῶν σῶν κιν-

tui correctionem non conducunt. Ex eo enim adparet, admirationi tibi fuisse spectaculum.

x. Ad recitationes aliquorum ne accede, nec facile prodi. Quod si prodeas, gravitatem ac constantiam serva; ac simul vide, ne cui sis molestus.

xi. Conventurus aliquem, eorum maximè qui eminere videntur, tibiipsi propone, quid in hoc fecisset Socrates, aut Zeno: nec incertus hærebis, quomodo convenienter eo quod inciderit utaris.

xii. Cum adieris aliquem eorum qui magna possunt, propone tibi, fieri posse ut intus ipsum non invenias, ut excludaris, ut fores tibi non aperiantur, ut nullam tui rationem habeat. Quod si cum his venire officii tui sit, fer ea quæ fiunt, nec unquam ipse tibi dicas: Non erat ille tanti. hoc quippe plebejum est, & hominis ad externa abjecti.

xiii. In congressibus absit, ut quædam tuorum operum, aut periculorum, frequenter & immodicè memineris. Non enim, quemadmodum tibi periculorum tuorum me-

δύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδύ ἐστι τὸ τῶν σοι συμβεβηκότων ἀκούειν.

ιδ. Ἀπέστω δὲ καὶ τὸ γέλωτα κινεῖν. ὀλισθηρὸς γὰρ ὁ τόπος εἰς ἰδιωτισμὸν, καὶ ἅμα ἱκανὸς τὴν αἰδῶ τὴν πρὸς σὲ τῶν πλησίον ἀνιέναι.

ιε. Ἐπισφαλὲς δὲ καὶ τὸ εἰς αἰσχρολογίαν προελθεῖν. ὅταν οὖν τι συμβῇ τοιοῦτον, ἂν μὲν εὔκαιρον ᾖ, ἐπίπληξον τῷ προελθόντι· εἰ δὲ μὴ, τῷ γε ἀποσιωπῆσαι, καὶ ἐρυθριάσαι, καὶ σκυθρωπῆσαι, δῆλος γίνου δυσχεραίνων τῷ λόγῳ.

ΚΕΦΑΛΑΙΟΝ λα.



Ἀν ἡδονῆς τινος φαντασίαν λάβῃς, φύλασσε σαυτὸν, μὴ συναρπασθῇς ὑπ' αὐτῆς· ἀλλ' ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ ἀναβολήν τινα παρὰ σεαυτοῦ λάβε. ἔπειτα μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὅν τε ἀπολαύσεις τῆς ἡδονῆς, καὶ καθ' ὃν ἀπολαύσας, ὕστερον μετανοήσεις· καὶ αὐτὸς σεαυτῷ λοιδορήσεις.

minisse jucundum est; ita & aliis jucundum est, ea quæ tibi acciderint audire.

XIV. Absit etiam, ut risum moveas. Lubricus enim hic locus est, quo in plebejam consuetudinem labaris, & simul solus potest proximorum erga te verecundiam remittere.

XV. Periculosum quoque est, ad sermonis obscœnitatem progredi. Cùm igitur hujusmodi aliquid acciderit, si quidem tempestivum sit, increpa eum qui in obscœnitatem progressus est: quod si non possis, at conticendo, & erubescendo, & supercilium contrahendo, manifestum sit, te sermonem istum moleste ferre.

CAPUT XXXI.

SI voluptatis cujuspiam imaginem animo concipias, serva teipsum, ne ab ipsa unà abripiaris: sed expectet te res ista, & moram aliquam à te cape. Deinde memento utriusque temporis, tum illius quo voluptate fruéris, tum alterius, quo postquam fructus es, pœnitentiâ deinde ducéris, & ipse te increpabis.

καὶ τούτοις ἀντίθες, ὅπως ἀποσχόμενος χαιρήσεις, καὶ ἐπαινέσεις αὐτὸς σεαυτόν. ἂν δέ σοι καιρὸς φανῇ ἅψασθαι τοῦ ἔργου, πρόσεχε μὴ νικήσῃ σε τὸ προσηνὲς αὐτοῦ, καὶ ἡδὺ, καὶ ἐπαγωγόν· ἀλλ' ἀντιτίθει, πόσῳ ἄμεινον τὸ συνειδέναι σαυτῷ ταύτην νίκην νενικηκότι.

ΚΕΦΑΛΑΙΟΝ λβ.

ΟΤάν τι, διαγνοὺς ὅτι ποιητέον ἐστὶ, ποιῇς, μηδέποτε φύγῃς ὀφθῆναι πράσσων αὐτὸ, κἂν ἀλλοῖόν τι οἱ πολλοὶ μέλλωσι περὶ αὐτοῦ ὑπολαμβάνειν. εἰ μὲν γὰρ οὐκ ὀρθῶς ποιεῖς, αὐτὸ τὸ ἔργον φεῦγε· εἰ δὲ ὀρθῶς, τί φοβῇ τοὺς ἐπιπλήξοντας οὐκ ὀρθῶς.

ΚΕΦΑΛΑΙΟΝ λγ.

ΩΣ τὸ, ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ ἐστι, πρὸς μὲν τὸ διεζευγμένον μεγάλην ἔχει ἀξίαν· πρὸς δὲ τὸ συμπεπλεγμένον, ἀπαξίαν. οὕτω καὶ τῶν παρακειμένων τὰ μείζω ἐλεῖν,

Atque his oppone, quomodo, si abstinueris, gavisurus sis, & ipse te laudaturus. Si autem tempus tibi visum fuerit opus adgrediendi, cave ne te vincant ejus blanditiæ, & suavitates, & illecebræ: Sed oppone, quanto satius sit conscire sibi hanc victoriam adepto.

CAPUT XXXII.

CUm facis aliquid, quod faciendum judicasti, nunquam fugias conspici id faciens; etiamsi aliud quidpiam de eo multi opinaturi sint. Si enim non rectè id facis, ipsum opus fuge: sin rectè, quid metuis non rectè reprehendentes.

CAPUT XXXIII.

QUemadmodum hoc: Aut dies est, aut nox est; ad disjunctum magnam habet dignitatem; ad conjunctum autem, indignitatem: Sic etiam, ex adpositis majorem partem capere, magnam

πρὸς μὲν τὸ σῶμα μεγάλην ἔχει ἀξίαν· πρὸς δὲ τὸ κοινὸν ἐν ἑστιάσει, οἷον δεῖ, φυλάξαι, ἀπαξίαν ἔχει. ὅταν οὖν συνεσθίῃς ἑτέρῳ, μέμνησο, οὐ μόνον τὴν πρὸς τὸ σῶμα ἀξίαν τῶν παρακειμένων ὁρᾷν, ἀλλὰ καὶ τὴν πρὸς τὸν ἑστιάτορα οἵαν δεῖ φυλαχθῆναι.

ΚΕΦΑΛΑΙΟΝ λδ.



Ἂν ὑπὲρ δύναμιν ἀναλάβῃς τι πρόσωπον, καὶ ἐν τούτῳ ἠσχημόνησας· καὶ ὃ ἠδύνασο ἐκπληρῶσαι, παρέλιπες.

ΚΕΦΑΛΑΙΟΝ λε.



Ἐν τῷ περιπατεῖν καθάπερ προσέχεις, μὴ ἐπιβῇς ἥλῳ, ἢ στρέψῃς τὸν πόδα σου· οὕτω πρόσεχε, μὴ καὶ τὸ ἡγεμονικὸν βλάψῃς τὸ σεαυτοῦ. καὶ τοῦτ' ἂν ἐφ' ἑκάστου ἔργου παραφυλάττωμεν, ἀσφαλέστερον ἁψόμεθα τοῦ ἔργου.

quidem erga corpus habet dignitatem; ad ſervandam autem, qualem oportet, in convivio communionem, indignitatem habet. Cùm igitur cum alio convivaris, memento, non tantùm adpoſitorum erga corpus dignitatem ſpectare; ſed etiam, qualem oporteat dignitatem erga convivatorem ſervari.

CAPUT XXXIV.

SI quâ perſonâ ſupra vires ſuſceptâ, indecorè te in ea geſſiſti; etiam quam perſonam ſuſtinere potuiſſes, omiſiſti.

CAPUT XXXV.

IN ambulando quemadmodum caves, ne clavum calces, aut pedem tuum luxes: ſic cave, ne quoque principalem tui partem lædas. Et hoc ſi in quovis opere obſervaverimus, cautius opus adgrediemur.

ΚΕΦΑ'ΛΑΙΟΝ λϛ.

ΜΕ'τρον κτήσεως τὸ σῶμα ἑκάστῳ, ὡς ὁ πούς ὑποδήματος. ἐὰν μὲν οὖν ἐπὶ τούτοις στῇς, φυλάξεις τὸ μέτρον· ἐὰν δὲ ὑπερβῇς, ὡς κατὰ κρημνοῦ λοιπὸν ἀνάγκη σε φέρεσθαι. καθάπερ καὶ ἐπὶ τοῦ ὑποδήματος, ἐὰν ὑπὲρ τὸν πόδα ὑπερβῇς, γίνεται κατάχρυσον ὑπόδημα, εἶτα πορφυροῦν, εἶτα κεντητόν. τοῦ γὰρ ἅπαξ ὑπὲρ τὸ μέτρον ὅρος οὐδείς ἐστιν.

ΚΕΦΑ'ΛΑΙΟΝ λζ.

ΑἹ γυναῖκες, εὐθὺς ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν, ὑπὸ τῶν ἀνδρῶν κυρίαι καλοῦνται. τοιγαροῦν ὁρῶσαι, ὅτι ἄλλο μὲν οὐδὲν αὐταῖς πρόσεστι, μόνον δὲ συγκοιμᾶσθαι τοῖς ἀνδράσιν, ἄρχονται καλλωπίζεσθαι, καὶ ἐν τούτῳ πάσας ἔχειν τὰς ἐλπίδας. προσέχειν οὖν ἄξιον, ἵνα αἰσθῶνται, διότι ἐπ' οὐδενὶ ἄλλῳ τιμῶνται, ἢ τῷ κόσμιαι φαίνεσθαι, καὶ αἰδήμονες ἐν σωφροσύνῃ.

CAPUT XXXVI.

MOdus possessionis unicuique corpus est, sicut pes calcei. Si igitur in his consistas, modum servabis; sin ea transieris, tanquam per præceps postea te ferri necesse est. Quemadmodum & circa calceum usu venit; si pedis modum transieris, fit ille deauratus, postea purpureus, deinde interpunctus. Illius enim, quod semel modum excessit, nullus est terminus.

CAPUT XXXVII.

MUlieres statim à quartodecimo anno à viris dominæ vocantur. Videntes igitur, nihil aliud sibi adesse, præterquam cum viris concumbere, ornare se incipiunt, & in hoc spes habere omnes. Operæ ergo pretium est studere, ut sentiant, non ob aliud quidquam honorem sibi haberi, quam quod decoræ videantur, & verecundæ in pudicitia.

α. Ἀφυΐας σημεῖον, τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα· οἷον, ἐπὶ πολὺ γυμνάζεσθαι, ἐπὶ πολὺ ἐσθίειν, ἐπὶ πολὺ πίνειν, ἐπὶ πολὺ ἀποπατεῖν, ὀχεύειν. ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ ποιητέον· περὶ δὲ τὴν γνώμην ἡ πᾶσα ἔστω ἐπιστροφή.

ΚΕΦΑΛΑΙΟΝ λη.

Ὅταν τις κακῶς τι ποιῇ, ἢ κακῶς σε λέγῃ, μέμνησο, ὅτι καθήκειν αὐτῷ οἰόμενος, ποιεῖ, ἢ λέγει. οὐχ οἷόν τε οὖν ἀκολουθεῖν αὐτὸν τῷ σοὶ φαινομένῳ, ἀλλὰ τῷ ἑαυτῷ. ὥστε εἰ κακῶς αὐτῷ φαίνεται, ἐκεῖνος βλάπτεται, ὅς τις καὶ ἐξηπάτηται. καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον, ἄν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βλάπτεται, ἀλλ' ὁ ἐξαπατηθείς. ἀπὸ τούτων οὖν ὁρμώμενος, πρᾴως ἕξεις πρὸς τὸν λοιδοροῦντα. ἐπιφθέγγου γὰρ ἑκάστῳ, ὅτι ἔδοξεν αὐτῷ.

1. Nullius ingenii ſignum eſt, corporis ſtudio immorari; ut exerceri diu, edere diu, diu bibere, diu cacare, coire. Sed obiter hæc ſunt facienda: circa mentem autem omnis tua ſit animadverſio.

CAPUT XXXVIII.

CUm quid male quiſpiam facit, aut tibi maledicit, memento, illum ſuo ſe officio fungi arbitrantem, facere, aut dicere. Non poteſt ergo fieri, ut ille, quod tibi videtur, ſequatur; ſed, quod ſibiipſi. Quare ſi male hoc ipſi videtur, ipſe læditur, qui & deceptus eſt. Etenim verum conjunctum ſi quiſquam falſum arbitretur, non conjunctum læditur, ſed qui eſt deceptus. Si igitur ab his impetus tuus feratur, leniter adfectus eris erga convitiantem. Quare cuique rei verbis ſubjice; viſum eſt ipſi.

ΚΕΦΑΛΑΙΟΝ λθ.

ΠΑν πρᾶγμα δύο ἔχει λαβάς. τὴν μὲν φορητήν· τὴν δὲ ἀφόρητον. ὁ ἀδελφὸς ἐὰν ἀδικῇ, ἐντεῦθεν αὐτὸ μὴ λάμβανε, ὅτι ἀδικεῖ. αὕτη γὰρ ἡ λαβή ἐστιν αὐτοῦ οὐ φορητή· ἀλλ' ἐκεῖθεν μᾶλλον, ὅτι ἀδελφὸς, ὅτι σύντροφος· καὶ λήψῃ αὐτὸ, καθ' ὃ φορητόν ἐστιν.

ΚΕΦΑΛΑΙΟΝ μ.

ΟΥτοι δὲ οἱ λόγοι ἀσύνακτοι. ἐγώ σου πλουσιώτερός εἰμι· ἐγώ σου ἄρα κρείσσων. ἐγώ σου λογιώτερος· ἐγώ σου ἄρα κρείσσων. ἐκεῖνοι δὲ μᾶλλον συνακτοί. ἐγώ σου πλουσιώτερός εἰμι· ἡ ἐμὴ ἄρα κτῆσις τῆς σῆς κρείσσων. ἐγώ σου λογιώτερος, ἡ ἐμὴ ἄρα λέξις τῆς σῆς κρείσσων. σὺ δέ γε οὔτε κτῆσις εἶ, οὔτε λέξις.

CAPUT XXXIX.

VNaquæque res duas habet anſas: unam, quâ ferri poteſt; alteram, quâ ferri non poteſt. Frater ſi injurius ſit; inde hanc rem ne prende, quod injurius eſt; hæc enim ipſius anſa eſt, quâ ferri nequit: ſed inde potiùs, quod frater eſt, quod tecum educatus. & prendes eam quâ parte ferri poteſt.

CAPUT XL.

HÆ orationes tales ſunt, quæ colligi non poſſint: Ego ſum ditior te; ergo ſum te melior: ego ſum facundior te; ergo ſum te melior. Sed iſtæ magis colligi poſſunt: Ego ſum ditior te; mea igitur poſſeſſio, quàm tua, melior eſt: ego te facundior; mea igitur dictio, quàm tua, melior. Tu autem nec poſſeſſio es, nec dictio.

ΚΕΦΑΛΑΙΟΝ μα.

Ούεταί τις ταχέως; μὴ εἴπῃς, ὅτι κακῶς, ἀλλ' ὅτι ταχέως. πίνει τις πολὺν οἶνον; μὴ εἴπῃς, ὅτι κακῶς, ἀλλ' ὅτι πολύν. πρὶν γὰρ διαγνῶναι τὸ δόγμα, πόθεν οἶσθα, εἰ κακῶς; οὕτως οὖν συμβήσεταί σοι, ἄλλας μὲν φαντασίας καταληπτικὰς καταλαμβάνειν, ἄλλοις δὲ συγκατατίθεσθαι.

ΚΕΦΑΛΑΙΟΝ μβ.

Ηδαμοῦ σεαυτὸν εἴπῃς φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων. οἷον, ἐν συμποσίῳ μὴ λέγε, πῶς δεῖ ἐσθίειν· ἀλλ' ἔσθιε, ὡς δεῖ. μέμνησο γὰρ, ὅτι οὕτω καὶ Σωκράτης πανταχόθεν ἀφῃρήκει τὸ ἐπιδεικτικόν. ἤρχοντο πρὸς αὐτὸν, βουλόμενοι φιλοσόφοις ὑπ' αὐτοῦ συσταθῆναι· κἀκεῖνος ἀπῆγεν αὐτούς. οὕτως ἠνείχετο παρορώμενος. ὥστε κἂν περὶ θεωρήματός τινος ἐν ἰδιώταις ἐμπίπτῃ λόγος, σιώπα τὸ πολύ. μέγας γὰρ ὁ κίν-

CAPUT XLI.

LAvat quis citò? ne dicas, malè; ſed, citò. Bibit quis multum vini? ne dicas, malè; ſed, multum. Priusquam enim dijudicâris iſtam opinionem, unde nôſti, num malè? Sic igitur tibi accidet, alia quidem viſa, quæ comprehendi poſſunt, comprehendere, aliis autem rebus adſentire.

CAPUT XLII.

NUſquam teipſum dic philoſophum, nec loquere multum inter rudes de theorematis. Velut, in convivio ne dic, quomodo oporteat edere; ſed ede, ſicut oportet. Memento enim, ſic quoque Socratem undecunque ſuſtuliſſe oſtentationem. Veniebant ad ipſum, qui philoſophis ab ipſo commendari vellent; atque ipſe illos abduxit. ſic contemni ſuſtinebat. Quare ſi apud rudes de theoremate ſermo incidat, tace plurimum. Magnum quippe peri-

δυνος, εὐθὺς ἐξεμέσαι, ὃ οὐκ ἔπεψας. καὶ ὅταν εἴπῃ σοι τις, ὅτι οὐδὲν οἶδα, καὶ σὺ μὴ δηχθῇς, τότ' ἴσθι, ὅτι ἤρξω τοῦ ἔργου. ἐπεὶ καὶ τὰ πρόβατα, οὐ χόρτον φέροντα, τοῖς ποιμέσιν ἐπιδεικνύει, πόσον ἔφαγεν· ἀλλὰ τὴν νομὴν ἔσω πέψαντα, ἔρια ἔξω φέρει, καὶ γάλα. καὶ σὺ τοίνυν μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλ' ἀπ' αὐτῶν πεφθέντων τὰ ἔργα.

ΚΕΦΑΛΑΙΟΝ μγ.



Ὅταν εὐτελῶς ἡρμοσμένος ᾖς κατὰ τὸ σῶμα, μὴ καλλωπίζου ἐπὶ τούτῳ. μηδ', ἂν ὕδωρ πίνῃς, ἐκ πάσης ἀφορμῆς λέγε, ὅτι ὕδωρ πίνεις. κἂν ἀσκῆσαί ποτε πρὸς πόνον θέλῃς σεαυτῷ, καὶ μὴ τοῖς ἔξω· μὴ τοὺς ἀνδριάντας περιλάμβανε. ἀλλὰ διψῶν ποτε σφοδρῶς, ἐπίσπασαι ψυχροῦ ὕδατος, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἴπῃς.

culum eſt, ne ſtatim evomas, quod non concoxeris. Et ſi quis tibi dixerit, nihil te ſcire, nec tamen tu mordearis; tunc ſcito te opus inchoâſſe. Quandoquidem & oves, non fœnum evomentes, paſtoribus monſtrant, quantum comederint; ſed pabulo intus concocto, lanas atque lac proferunt. Et tu igitur, ne rudibus theoremata oſtende; ſed ab his concoctis, opera.

CAPUT XLIII.

CUm perfectè compoſito fueris corpore, ne tibi ob id place: nec, ſi aquam bibas, ex quavis occaſione dic; aquam bibo. Quod ſi quando ad laborem te exercere velis tibiipſi, & non externis; ne ſtatuas amplectere. Sed ſi quando vehementer ſitieris, frigidam hauſtam exſpuito, ac nemini dicito.

ΚΕΦΑΛΑΙΟΝ μδ.

Ἰδιώτου στάσις, καὶ χαρακτήρ· οὐδέποτε ἐξ ἑαυτοῦ προσδοκᾷ ὠφέλειαν, ἢ βλάβην· ἀλλ' ἀπὸ τῶν ἔξω. φιλοσόφου στάσις, καὶ χαρακτήρ· πᾶσαν ὠφέλειαν, καὶ βλάβην ἐξ ἑαυτοῦ προσδοκᾷ.

ΚΕΦΑΛΑΙΟΝ με.

Σημεῖα προκόπτοντος· οὐδένα ψέγει, οὐδένα ἐπαινεῖ, οὐδένα μέμφεται, οὐδενὶ ἐγκαλεῖ, οὐδὲν περὶ ἑαυτοῦ λέγει, ὡς ὄντος τινὸς, ἢ εἰδότος τί. ὅταν ἐμποδισθῇ τι, ἢ κωλυθῇ, ἑαυτῷ ἐγκαλεῖ. κἂν τις αὐτὸν ἐπαινῇ, καταγελᾷ τοῦ ἐπαινοῦντος αὐτὸς παρ' ἑαυτῷ· κἂν ψέγῃ, οὐκ ἀπολογεῖται. περίεισι δὲ, καθάπερ οἱ ἄῤῥωστοι, εὐλαβούμενός τι κινῆσαι τῶν καθισταμένων, πρὶν πῆξιν λαβεῖν. ὄρεξιν ἅπασαν ἦρκεν ἀφ' ἑαυτοῦ· τὴν δ' ἔκκλισιν εἰς μόνα τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν μετατέθεικεν. ὁρμῇ πρὸς ἅπαντα ἀνειμένῃ χρῆται. ἂν ἠλίθιος, ἢ ἀμαθὴς

CAPUT XLIV.

PLebeji ſtatus, & figura: nunquam à ſeipſo expectare emolumentum, aut detrimentum; ſed ab externis. Philoſophi ſtatus, & figura: omne emolumentum, & detrimentum expectare à ſeipſo.

CAPUT XLV.

SIgna proficientis ſunt: Neminem vituperat, neminem laudat, de nemine queritur, neminem incuſat; nihil de ſeipſo dicit, ut qui aliquis ſit, & aliquid ſciat. Cum in re quapiam impeditur, aut prohibetur, ſeipſum incuſat. Et ſi quis ipſum laudet, ridet laudantem ipſe ſecum; & ſi vituperet, non ſe purgat. Circumit autem infirmorum inſtar, metuens ne quid eorum, quæ conſiſtunt, moveat, priusquam ſolidetur. Adpetitionem omnem à ſeipſo ſuſtulit: declinationem autem ad ſola ea transtulit, quæ, contra naturam exiſtentia, in noſtra ſunt poteſtate. Impetu ad omnia remiſſo utitur. Num fatuus, aut indoctus,

δοκῇ, οὐ πεφρόνηκεν. ἑνὶ δέ τε λόγῳ, ὡς ἐχθρὸν ἑαυτὸν παραφυλάσσει, καὶ ἐπίβουλον.

ΚΕΦΑΛΑΙΟΝ μϛ.

ὍΤάν τις, ἐπὶ τῷ νοεῖν, καὶ ἐξηγεῖσθαι δύνασθαι τὰ χρυσίππου, σεμνύνηται, λέγε αὐτὸς πρὸς σαυτὸν, ὅτι εἰ μὴ χρύσιππος ἀσαφῶς ἐγεγράφει, οὐδὲν ἂν εἶχεν οὗτος, ἐφ᾽ ᾧ σεμνύνηται. ἐγὼ δὲ τί βούλομαι; καταμαθεῖν τὴν φύσιν, καὶ ταύτῃ ἕπεσθαι. ζητῶ οὖν, τίς ἐστιν ὁ ἐξηγούμενος; καὶ ἀκούσας, ὅτι χρύσιππος, ἔρχομαι πρὸς αὐτόν. ἀλλ᾽ οὐ νοῶ τὰ γεγραμμένα. ζητῶ οὖν τὸν ἐξηγούμενον· καὶ μέχρι τούτων οὔπω σεμνὸν οὐδέν. ὅταν δὲ ἔορω τὸν ἐξηγούμενον, ἀπολείπεται χρῆσθαι τοῖς παρηγγελμένοις. τοῦτο αὐτὸ μόνον σεμνόν ἐστιν. ἂν δὲ αὐτὸ τοῦτο ἐξηγεῖσθαι θαυμάσω, τί ἄλλο ἢ γραμματικὸς ἀπετελέσθην ἀντὶ φιλοσόφου; πλήν γε δὴ, ὅτι ἀντὶ ὁμήρου, χρύσιππον ἐξηγούμενος. μᾶλλον οὖν, ὅταν τις εἴπῃ μοι· ἐπανάγνωθί μοι

videatur, non curat. & ut uno dicam verbo, tanquam hostem, seipsum observat, & tanquam insidiatorem.

CAPUT XLVI.

SI quis eo, quod intelligat, & explicare possit Chrysippi libros, glorietur, ipse tibi dic: Nisi obscure scripsisset Chrysippus, nihil hic haberet, quo gloriaretur. Ego autem quid volo? Condiscere naturam, & hanc sequi. Quæro igitur, quis sit qui hæc explicet. Et cum audiero, Chrysippum esse, ad ipsum venio. Sed non intelligo scripta. Quæro igitur explicatorem. atque hactenus quidem præclari nihil. Ubi autem explicatorem invenero, reliquum est, uti iis quæ sunt præcepta. id quod solùm præclarum est. Si autem ipsam illam explicationem admiratus fuero, quid aliud quàm grammaticus philosophi loco evasi: nisi quod pro Homero Chrysippum explico. Potius igitur, cum quis mihi dixerit; Prælege mihi

χρύσιππον, ἐρυθριῶ, ὅταν μὴ δύνωμαι ὅμοια τὰ ἔργα, καὶ σύμφωνα ἐπιδεικνύειν τοῖς λόγοις.

ΚΕΦΑΛΑΙΟΝ μζ.

ΟΣα προτίθεται, τούτοις, ὡς νόμοις, ὡς ἀσεβήσων ἂν παραβῇς, ἔμμενε. ὅ, τι δ' ἂν ἐρῇ τις περὶ σοῦ, μὴ ἐπιστρέφου. τοῦτο γὰρ οὐκ ἔτ' ἔστι σόν.

ΚΕΦΑΛΑΙΟΝ μη.

ΕἸς ποῖον οὖν χρόνον ἀναβαλῇ, τὸ τῶν βελτίστων ἀξιοῦν σεαυτὸν, καὶ ἐν μηδενὶ παραβαίνειν τὸν διαιροῦντα λόγον; παρείληφας τὰ θεωρήματα, οἷς ἔδει σε συμβάλλειν, καὶ συμβέβληκας; ποῖον οὖν ἔτι διδάσκαλον προσδοκᾷς, ἵνα εἰς ἐκεῖνον ὑπερθῇς τὴν ἐπανόρθωσιν ποιῆσαι τὴν σεαυτοῦ; οὐκ ἔτι εἶ μειράκιον, ἀλλ' ἀνὴρ ἤδη τέλειος. ἂν τοίνυν ἀμελήσῃς, καὶ ῥαθυμήσῃς, καὶ ἀεὶ ὑπερθέσεις ἐξ ὑπερθέσεων ποιῇς, προθέσεις ἐκ προθέσεων, καὶ ἡμέρας ἄλλας ἐπ' ἄλλαις ὁρίζῃς, μεθ' ἃς

Chrysippum; erubesco, quando similia verbis facta, & consona, ostendere non possum.

CAPUT XLVII.

QUæcunque proponuntur, in his, velut legibus observandis, persevera; tanquam impius futurus, si transgrediaris. Quodcunque autem de te quis dixerit, id ne cures. Hoc enim non amplius tuum est.

CAPUT XLVIII.

IN quod ergo tempus differes, optimis te ipsum dignari, & in nullo orationem dividentem violare. Accepisti theoremata, ad quæ te adplicare debebas: iísne te adplicuisti? Qualem igitur adhuc doctorem expectas, ut in adventum ejus differas tui correctionem instituere? Non amplius es adolescens, sed vir jam perfectus. Si igitur negligens sis & desidiosus, & semper moram ex mora facias, propositum ex proposito, & dies alios post alios constituas, post quos

προσέξεις σεαυτῷ, λήσεις σεαυτὸν οὐ προκόψας· ἀλλ' ἰδιώτης διατελέσεις καὶ ζῶν καὶ ἀποθνήσκων. ἤδη οὖν ἀξίωσον σεαυτὸν βιοῦν ὡς τέλειον, καὶ προκόπτοντα· καὶ πᾶν τὸ βέλτιστον φαινόμενον ἔστω σοι νόμος ἀπαράβατος· κἂν ἐπίπονόν τι ἢ ἡδύ· ἢ ἔνδοξον, ἢ ἄδοξον, προσάγηται, μέμνησο, ὅτι νῦν ὁ ἀγὼν, καὶ ἤδη πάρεστι τὰ ὀλύμπια, καὶ οὐκ ἔστιν ἀναβάλλεσθαι· καὶ ὅτι παρὰ μίαν ἧτταν καὶ ἔνδοσιν ἢ ἀπόλλυται προκοπὴ, ἢ σώζεται. Σωκράτης οὕτως ἀπετελέσθη ἐπὶ πάντων προσάγων ἑαυτὸν, μηδενὶ ἄλλῳ προσέχων, ἢ τῷ λόγῳ. Σὺ δὲ εἰ καὶ μήπω εἶ Σωκράτης, ὡς Σωκράτης γε εἶναι βουλόμενος, ὀφείλεις βιοῦν.

ΚΕΦΑΛΑΙΟΝ μθ.

Ὁ Πρῶτος καὶ ἀναγκαιότατος τόπος ἐστὶν ἐν φιλοσοφίᾳ, ὁ τῆς χρήσεως τῶν θεωρημάτων· οἷον, ὁ τοῦ μὴ ψεύδεσθαι.

tibiipſi attendes, ignorabis te non proficere; ſed plebejus permanebis & vivens, & moriens. Jam igitur hoc te dignare, ut vivas tanquam perfectus, & proficiens: & quodcunque tibi optimum videtur, pro lege tibi ſit, quam transgredi non liceat. Ac ſi laborioſum quid, aut jucundum; glorioſum, aut inglorium offeratur, memento, nunc certamen obveniſſe, & jam adeſſe Olympia, nec differre licere: & una clade, aut inſtantia, vel perire profectum, vel ſervari. Socrates ſic perfectus evaſit, in omnibus, quæ ipſi offerrentur, nulli alii rei adtendens, præterquam rationi. Tu autem, etſi nondum es Socrates, ſic tamen, ut qui Socrates eſſe velis, debes vivere.

CAPUT XLIX.

PRimus & maximè neceſſarius in philoſophia locus eſt, de uſu theorematum: ut, Non eſſe mentiendum.

ὁ δεύτερος, ὁ τῶν ἀποδείξεων· οἷον, πόθεν, ὅτι οὐ δεῖ ψεύδεσθαι. τρίτος, ὁ αὐτῶν τούτων βεβαιωτικὸς, καὶ διαρθρωτικός· οἷον, πόθεν, ὅτι τοῦτο ἀπόδειξις. τί γάρ ἐστιν ἀπόδειξις; τί ἀκολουθία; τί μάχη; τί ἀληθές; τί ψεῦδος; οὐκοῦν ὁ μὲν τρίτος τόπος ἀναγκαῖος διὰ τὸν δεύτερον· ὁ δὲ δεύτερος, διὰ τὸν πρῶτον· ὁ δὲ ἀναγκαιότατος, καὶ ὅπου ἀναπαύεσθαι δεῖ, ὁ πρῶτος. ἡμεῖς δ' ἔμπαλιν ποιοῦμεν. ἐν γὰρ τῷ τρίτῳ τόπῳ διατρίβομεν, καὶ περὶ ἐκεῖνόν ἐστιν ἡμῖν ἡ πᾶσα σπουδή· τοῦ δὲ πρώτου παντελῶς ἀμελοῦμεν. τοιγαροῦν ψευδόμεθα μέν· πῶς δὲ ἀποδείκνυται, ὅτι οὐ δεῖ ψεύδεσθαι, πρόχειρον ἔχομεν.

ΚΕΦΑ΄ΛΑΙΟΝ ν̅.

ΕΠὶ παντὸς πρόχειρα ἑκτέον ταῦτα.

Ἄγου δέ μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ πεπρωμένη,
Ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος·

Alter, demonſtrationum: ut, Unde hoc, quod non ſit mentiendum. Tertius locus, qui hos ipſos confirmat, & diſtinguit: ut, Unde fiat, ut hoc ſit demonſtratio. Quidnam ſit demonſtratio; quid conſecutio; quid pugna; quid falſum. Quare tertius quidem locus neceſſarius eſt ob ſecundum; ſecundus autem, ob primum. Maximè autem neceſſarius, & in quo adquieſcere oportet, eſt primus. At nos contrà facimus. In tertio enim loco immoramur, & circa illum omne ſtudium noſtrum occupatur: primi autem nullam plane curam habemus. Idcirco nos quidem mentimur: at quomodo demonſtretur, non eſſe mentiendum, in promtu habemus.

CAPUT L.


N quovis negotio hæc in promtu ſunt habenda.

Duc me, ô Jupiter, atque tu Fatum,
Quocunque à vobis ſum deſtinatus;

Ὥς ἕψομαί γ' ἄοκνος. ἢν δὲ μὴ θέλω,
Κακὸς γενόμενος, οὐδὲν ἧττον ἕψομαι.

Ὅς τις δ' ἀνάγκῃ συγκεχώρηκε καλῶς,
Σοφὸς παρ' ἡμῖν, καὶ τὰ θεῖ' ἐπίσταται.

Ἀλλὰ καὶ τὸ τρίτον. Ὦ κρίτων, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ γινέσθω. ἐμὲ δ' ἄνυτος καὶ μέλιτος ἀποκτεῖναι μὲν δύνανται· βλάψαι δ' οὔ.

ΤΕΛΟΣ.

Qui ſequar impiger. Nam ſi nolim,
Improbus factus, nihilominus ſequar.

Qui autem neceſſitati bene paruit,
Sapiens apud nos habetur, & ſcit divina.

Sed & tertium. O Crito, ſi Diis hoc modo viſum fuerit, hoc modo fiat. Me quidem Anytus & Melitus occidere poſſunt; at lædere nequaquam.

FINIS.

ἘΚ ΤΩ͂Ν ΣΟΥΐΔΑ.

ἘΠΙ'ΚΤΗΤΟΣ, ἱεραπόλεως τῆς φρυγίας, φιλόσοφος. δοῦλος δὲ ἐπαφροδίτου, τῶν σωματοφυλάκων τοῦ βασιλέως νέρωνος. πηρωθεὶς δὲ τὸ σκέλος ὑπὸ ῥεύματος, ἐν νικοπόλει τῆς νέας ἠπείρου ᾤκησε. καὶ διατείνας μέχρι μάρκου ἀντωνίνου ἔγραψε πολλά.

Ex Suida.

EPICTETUS, Hierapoli, Phrygiæ urbe oriundus, philosophus. Servus Epaphroditi, qui erat ex stipatoribus imperatoris Neronis. Crure autem defluxione læso claudus, Nicopoli, novæ Epiri urbe, habitavit: & vitâ ad Marcum Antoninum usque productâ, multa scripsit.

ἘΠΙΚΤΉΤΟΥ
ΓΝΩ͂ΜΑΙ,
ἘΚ ΤΩ͂Ν
ἸΩΆΝΝΟΥ ΣΤΟΒΑΊΟΥ.

EPICTETI
SENTENTIÆ,
EX
JOANNE STOBÆO.

Græcè & Latinè.

ἘΠΙΚΤΗΤΟΥ ΓΝΩ͂ΜΑΙ,

ἘΚ ΤΩ͂Ν

ἸΩΑ͂ΝΝΟΥ ΣΤΟΒΑΙ͂ΟΥ.

α.



ΤΥΧΗ· βίος συμπεπλεγμένος, ἔοικε χειμάῤῥῳ ποταμῷ. καὶ γὰρ ταραχώδης, καὶ ἰλύος ἀνάμεσος, καὶ δυσέμβατος, καὶ τυραννικὸς, καὶ πολύηχος, καὶ ὀλιγοχρόνιος.

β. Ψυχὴ ὁμιλοῦσα ἀρετῇ, ἔοικεν ἀεννάῳ πηγῇ. καὶ γὰρ καθαρὸν, καὶ ἀτάραχον, καὶ πότιμον, καὶ νόσιμον, καὶ κοινωνικὸν, καὶ πλούσιον, καὶ ἀβλαβὲς, καὶ ἀνώλεθρον.

γ. Εἰ βούλει ἀγαθὸς εἶναι, πρῶτον πίστευσον, ὅτι κακὸς εἶ.

δ. Βέλτιον ὀλιγάκις πλημμελεῖν, ὁμολογοῦντα σωφρονεῖν πλεονάκις· ἢ ὀλιγάκις ἁμαρτεῖν, λέγοντα πλημμελεῖν πολλάκις.

ε. Κόλαζε τὰ πάθη, ἵνα μὴ ὑπ' αὐτῶν τιμωρῇ.

EPICTETI SENTENTIÆ, EX JOANNE STOBÆO.

I.

ORTUNÆ vita implicata, similis est ex tempestate orto fluvio: quippe qui turbulentus est, & limo repletus, & ingressu difficilis, & tyrannicus, & obstreperus, & momentaneus.

II. Anima virtuti dedita, similis est perenni fonti: nam & purum quid est, & imperturbatum, & potabile, & dulce, & ad communicationem natum, & dives, & innoxium, & minimè perniciosum.

III. Si vis bonus esse, primùm crede te esse malum.

IV. Satius est rarius delinquere, fatentem modestè & sobriè agere sæpius; quàm rarius peccare, dicentem se delinquere sæpius.

V. Coërce animi perturbationes, ne ab ipsis puniaris.

ϛ̄. Μὴ οὕτω τὸ ἐκτὸς δόξης αἰσχύνου, ὡς τὸ ἐκτὸς ἀληθείας ἀπόφευγε.

ζ̄. Εἰ βούλει καλῶς ἀκούειν, μάθε καλῶς λέγειν· μαθὼν δὲ καλῶς λέγειν, πειρῶ καλῶς πράττειν, καὶ οὕτω καρπώσῃ τὸ καλῶς ἀκούειν.

η̄. Ὅταν τις κακῶς τι ποιῇ, ἢ κακῶς τι λέγῃ, μέμνησο, ὅτι καθήκειν αὐτῷ οἰόμενος, ποιεῖ. τί οὖν; ἀκολουθήσει τῷ σοὶ φαινομένῳ, ἢ τῷ αὐτῷ; ἀλλὰ κακῶς αὐτῷ φαίνεται. τίς οὖν ἐξηπάτηται; ἐκεῖνος. τίς οὖν βέβλαπται; ὁ ἐξηπατημένος. καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἐάν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βλάπτεται, ἀλλ' ὁ ὑπολαβών.

θ̄. Ἐλευθερία καὶ δουλεία, τὸ μὲν ἀρετῆς ὄνομα, τὸ δὲ κακίας· ἄμφω δὲ προαιρέσεως ἔργα. οἷς δὲ προαίρεσις οὐ κοινωνεῖ, τούτων ψαύει μὲν οὐδέτερον. ψυχὴ δὲ δεσπόζειν εἴωθε σώματος, καὶ τῶν ἀμφὶ σῶμα

VI Ne tàm ejus, quod extra gloriam eſt, te pudeat; quàm id, quod extra veritatem eſt, fugias.

VII. Si vis bene audire, diſce bene dicere: ubi autem didiceris bene dicere, conare rectè agere; atque ſic hunc fructum capies, ut bene audias.

VIII. Cum qvis male quid facit, aut quid male dicit, memento illum ſuo ſe officio fungi opinantem facere. Quid igitur? ſequetúrne quod tibi videtur, an qvod ſibi? At male ipſi videtur. Quis ergo deceptus eſt? ille. Quis ergo damno adfectus? is qui & deceptus. Namque verum conjunctum ſi quis falſum autumet, non id quod conjunctum eſt læditur, ſed is qui autumavit.

IX. Libertas & ſervitus nomina ſunt; illud virtutis, hoc vitii: utraque autem propoſiti opera. At qui propoſito nullam cum his communionem habent, illos neutrum horum tangit. Anima autem corporis domina eſſe ſolet, eorumque quæ circa corpus exiſtunt, &

ὅσα προαιρέσεως ἀκοινώνητα. οὐδεὶς γὰρ δοῦλος, τὴν προαίρεσιν ὑπάρχων ἐλεύθερος.

ι. Κακὸς δεσμὸς, σώματος μὲν τύχη, ψυχῆς δὲ κακία. ὁ μὲν γὰρ τὸ σῶμα λελυμένος, τὴν δὲ ψυχὴν δεδεμένος, δοῦλος· ὁ δ' αὖ τὸ σῶμα δεδεμένος, τὴν δὲ ψυχὴν λελυμένος, ἐλεύθερος.

ια. Τὸν μὲν τοῦ σώματος δεσμὸν λύει καὶ φύσις διὰ θανάτου, καὶ ἡ κακία, διὰ χρημάτων· τὸν δὲ τῆς ψυχῆς, ἀρετὴ διὰ μαθήσεως, καὶ ἐμπειρίας, καὶ ἀσκήσεως.

ιβ. Εἰ βούλει ἀταράχως, καὶ εὐαρέστως ζῆν, πειρῶ τοὺς συνοικοῦντας ἀγαθοὺς ἔχειν. ἕξεις δὲ ἀγαθοὺς, εἰ τοὺς μὲν ἑκόντας παιδεύοις· τοὺς δὲ ἄκοντας, ἔπειτα κεχειρωμένους, ἀπολύοις. συμφεύξεται γὰρ τοῖς φυγοῦσιν ἡ μοχθηρία ἅμα καὶ ἡ κακία· συνυπολειφθήσεται δὲ τοῖς συμμένουσί σοι ἡ χρηστότης, καὶ ἡ ἐλευθερία.

ιγ. Αἰσχρὸν τοῖς τῶν μελιττῶν δωρήμασι γλυκάζοντα τὴν κατάποσιν, τὸ τῶν θεῶν δῶρον, τὸν λόγον, πικράζειν τῇ κακίᾳ.

nullam cum proposito communionem habent. Nemo enim servus, qui proposito est liber.

X. Malum vinculum est, corporis quidem fortuna; animæ autem vitium. Qvi enim corpore solutus, animâ autem vinctus, servus est: at rursus, qui corpore vinctus, animâ autem solutus, liber existit.

XI. Corporis vinculum solvit tum natura, per mortem; tum fortuna, per pecuniam: animæ autem, virtus per doctrinam, & experientiam, & exercitationem.

XII. Si vis imperturbate, & jucunde vivere, da operam ut omnes, qui tecum habitant, bonos habeas. Habebis autem bonos, si eos, qui libentes tibi adsunt, erudias; invitos autem, aut improbitate victos, dimittas. Nam cum fugientibus malitia simul & vitium aufugient; cum iis autem qui tecum manent, probitas simul & libertas relinquentur.

XIII. Turpe est, eum, qui apum muneribus edulcat potionem, Deorum donum, rationem, amaram reddere vitio.

ιδ. Οὐδεὶς φιλοχρήματος, καὶ φιλήδονος, καὶ φιλόδοξος, καὶ φιλάνθρωπος· ἀλλὰ μόνος ὁ φιλόκαλος.

ιε. Ὥσπερ οὐκ ἂν ἐβούλου ἐν νηῒ μεγάλῃ, καὶ γλαφυρᾷ, καὶ πολυχρύσῳ, πλέων βαπτίζεσθαι· οὕτω μηδὲ ἐν οἰκίᾳ αἱροῦ ὑπερμεγέθει, καὶ πολυτελεῖ καθήμενος χειμάζεσθαι.

ις. Εἰς συμπόσιον μὲν οὖν παρακληθέντες, τῷ παρόντι χρώμεθα. εἰ δέ τις κελεύοι τὸν ὑποδεχόμενον ἰχθῦς αὐτῷ παραθεῖναι, ἢ πλακοῦντας, ἄτοπος ἂν δόξειεν. ἐν δὲ τῷ κόσμῳ αἰτοῦμεν τοὺς θεοὺς ἃ μὴ διδόασι, καὶ ταῦτα πολλῶν ὄντων ἅ γε ἡμῖν δεδώκασι.

ιζ. Χαρίεντες, ἔφη, εἰσὶν οἱ μέγα φρονοῦντες ἐπὶ τοῖς οὐκ ἐφ' ἡμῖν. ἐγώ σου, φησὶ, κρείττων εἰμί· ἀγροὺς γὰρ ἔχω πολλοὺς, σὺ δὲ λιμῷ παρατείνῃ. ἄλλος λέγει, ἐγὼ ὑπατικός εἰμι. ἄλλος, ἐπίτροπος ἐγώ. ἄλλος, ἐγὼ οὔλας τρίχας ἔχω. ἵππος δ' ἵππῳ οὐ λέγει, ὅτι κρείττων εἰμί σου· πολὺν γὰρ κέκτημαι χιλὸν, καὶ κριθὰς πολλάς.

XIV. Nemo pecuniæ amans, & voluptatis, & gloriæ, ſimul homines amat; ſed ſolus honeſti amans.

XV. Quemadmodum nolles in magna navi, & ornata, & auro onuſtâ, navigans mergi: ſic neque cupias in domo nimis magna, & ſumtuoſa ſedens curis obrui.

XVI. Ad convivium invitati, præſenti utimur. Quod ſi quis juberet hoſpitem adponere ſibi piſces, aut placentas, abſurdus videretur. At nos in mundo petimus à diis, quæ non dant; cum multa interim ſint, quæ nobis dederunt.

XVII. Lepidi, inquiebat, ſunt, qui magnificè ſe efferunt ob ea quæ in noſtra poteſtate non exiſtunt. Ego te, inquit, melior ſum: agros enim multos habeo, tu autem fame conficeris. Alius ait; ego conſularis ſum: alius; ego procurator: alius; criſpos ego crines habeo. At equus non dicit equo; te ego ſum melior; quia multum pabuli habeo, & hordei abunde.

καὶ χαλινοί μοι εἰσὶ χρυσοῖ, καὶ ἐφίππια ποικίλα· ἀλλ' ὅτι ὠκύτερός σου εἰμί. καὶ πᾶν ζῶον κρεῖττον, καὶ χεῖρόν ἐστιν ἐκ τῆς ἑαυτοῦ ἀρετῆς καὶ κακίας. ἆρ' οὖν ἀνθρώπου μόνου ἀρετὴ οὐκ ἔστιν, ἀλλὰ δεῖ ἡμᾶς εἰς τρίχας ἀφορᾶν, καὶ τὰ ἱμάτια, καὶ τοὺς πάππους; τῷ μὲν ἰατρῷ μηδὲν συμβουλεύοντι ἄχθονται οἱ κάμνοντες, καὶ ἡγοῦνται ἀπεγνῶσθαι ὑπ' αὐτοῦ· πρὸς δὲ τὸν φιλόσοφον διατί οὐκ ἄν τις οὕτω διατεθείη, ὥστε οἰηθῆναι ἀπεγνῶσθαι ὑπ' αὐτοῦ σωφρονήσειν, εἰ μηδὲν λέγοιτο πρὸς αὐτὸν τῶν χρησίμων.

π. Οἱ τὸ σῶμα εὖ διακείμενοι, καὶ καύματα καὶ ψύχη ὑπομένουσιν· οὕτω δὲ καὶ οἱ τὴν ψυχὴν καλῶς διακείμενοι, καὶ ὀργὴν, καὶ λύπην, καὶ περιχάρειαν, καὶ τ' ἄλλα πάθη φέρουσιν.

πα. Ἐξέταζε σαυτὸν, πότερον πλουτεῖν θέλεις, ἢ εὐδαιμονεῖν. καὶ εἰ μὲν πλουτεῖν, ἴσθι ὅτι οὔτε ἀγαθὸν, οὔτε ἐπί σοι πάντη· εἰ δὲ εὐδαιμονεῖν, ὅτι καὶ ἀγαθὸν, καὶ ἐπὶ σοί. ἐπεὶ τὸ μὲν τύχης ἐπίκαιρον δάνειον· τὸ δὲ τῆς εὐδαιμονίας, προαιρέσεως.

insuper frena mihi sunt aurea, & ephippia varia: sed inde, quod te sum velocior. Adeoque omne animal melius, & deterius est, ex sua virtute & vitio. Soliúsne igitur hominis virtus nulla est, sed oportet nos ad crines respicere, & vestes, & avos? Medico nihil consilii danti succensent ægri, eumque jam de se desperasse censent: erga philosophum cur non ita quis adfectus fuerit, ut opinetur de se ipsum desperasse, an unquam mentis compos futurus sit, si nullas ipsi utiles admonitiones protulerit.

XVIII. Qui corpore sunt bene compositi, & æstus, & frigora tolerant: sic quoque qui anima bene compositi sunt, & iram, & tristitiam, & effusam lætitiam, aliosque turbatos animi motus ferunt.

XIX. Ex teipso exquire, utrum velis; ditescere, an beatè vivere. Et si quidem ditescere velis, scito nec bonum id esse, nec semper in tua potestate; at si beatè vivere, & bonum hoc esse, & in tua potestate: quoniam divitiæ sunt ad tempus à fortuna datum mutuum; beata autem vita est à proposito.

κ. Καθάπερ ἔχιν, ἢ ἀσπίδα, ἢ σκορπίον, ἐν ἐλεφαντίνῃ, ἢ χρυσῇ θεώμενος κίστῃ, οὐ διὰ τὸ πολυτελὲς τῆς ὕλης ἀγαπᾷς καὶ εὐδαιμονίζεις, ἀλλ' ὅτι λυμαντικὴ ἡ φύσις, ἐκτρέπῃ καὶ μυσάττῃ· οὕτω καὶ ἐπειδὰν ἐν πλούτῳ καὶ ὄγκῳ τύχης θεάσῃ κακίαν ἐνοῦσαν, μὴ καταπλαγῇς τὸ περιλαμπὲς τῆς ὕλης, ἀλλὰ καταφρόνει τῆς ἐν τῷ τρόπῳ κιβδηλίας.

κα. Ὁ πλοῦτος, οὐ τῶν ἀγαθῶν· ἡ πολυτέλεια, τῶν κακῶν· ἡ σωφροσύνη, τῶν ἀγαθῶν. καλεῖ δὲ ἡ μὲν σωφροσύνη, ἐπὶ τὴν εὐτέλειαν, καὶ τὴν κτῆσιν τῶν ἀγαθῶν· ὁ δὲ πλοῦτος, ἐπὶ τὴν πολυτέλειαν, καὶ ἀφέλκει τῆς σωφροσύνης. δυσχερὲς ἄρα, πλουτοῦντα σωφρονεῖν, ἢ σωφρονοῦντα πλουτεῖν.

κβ. Ὥσπερ εἰ ἐν νηῒ ἐσπάρης, ἢ ἐτέχθης, οὐκ ἂν ἔσπευδες αὐτῆς κυβερνήτης ὑπάρχειν. οὔτε γὰρ ἐκεῖ σοι φύσει ἡ ναῦς συνέσται, οὔτε ἐνταῦθα ὁ πλοῦτος· ἀλλὰ πάντη ὁ λόγος. ὅπερ οὖν σοι φυσικὸν καὶ συγγενὲς, ὁ λόγος, τοῦτο καὶ οἰκεῖον ἡγησάμενος, τούτου ἐπιμελοῦ.

XX. Quemadmodum viperam, aut aſpidem, aut ſcorpium in eburnea, aureáve ciſtula videns, non propter materiæ pretium amas, & beata animalia prædicas; ſed quoniam nocens illorum natura, averſaris atque exhorreſcis: ſic quoque ubi in divitiis, & fortunæ amplitudine malitiam ineſſe videris, ſplendorem materiæ ne ſtupeas, ſed illam in moribus pravitatem ſperne.

XXI. Divitiæ non ſunt de numero bonorum: magnus ſumtus, de numero malorum: temperantia, de numero bonorum. Vocat autem temperantia ad frugalitatem, & poſſeſſionem bonorum; divitiæ verò ad nimium ſumtum, & abſtrahunt à temperantia. Difficile igitur eſt, divitem eſſe temperantem; aut temperantem divitiis adfluere.

XXII. Quemadmodum ſi genitus, aut natus eſſes in navi, non propterea ejus gubernator eſſe cuperes: neque enim iſthîc naturâ tibi navis aderit; neque hîc divitiæ: ſed ubique ratio. Id igitur quod tibi naturale & cognatum eſt, nempe rationem, tibi proprium cenſens, ejus curam ſuſcipe.

κγ. Ἐν πέρσαις μὲν γεννηθεὶς, οὐκ ἔσπευδες οἰκεῖν τὴν ἑλλάδα, ἀλλ' αὐτόθι διάγων εὐτυχεῖν· ἐν πενίᾳ δὲ γεννηθεὶς, τί σπεύδεις πλουτεῖν, ἀλλ' οὐκ αὐτόθι μένων εὐτυχεῖν;

κδ. Ὥσπερ ἐπὶ σμικροῦ σκίμποδος θλιβόμενον, ὑγιαίνειν ἄμεινον, ἢ ἐπὶ πλατείας κλίνης καλινδούμενον νοσεῖν· οὕτω καὶ ἐν μικρᾷ περιουσίᾳ βέλτιον συστελλόμενον εὐδαιμονεῖν, ἢ ἐν μεγάλῃ τυγχάνοντα δυστυχεῖν.

κε. Οὐ πενία λύπην ἐργάζεται, ἀλλ' ἐπιθυμία. οὐδὲ πλοῦτος φόβου ἀπαλλάττει, ἀλλὰ λογισμός. κτησάμενος τοιγαροῦν τὸν λογισμὸν, οὔτε πλούτου ἐπιθυμίαν ἕξεις, οὔτε πενίαν μέμψῃ.

κϛ. Οὔτε ἵππος ἐπὶ φάτνῃ, καὶ φαλάροις, καὶ τάπησιν· οὔτε ὄρνις ἐπὶ τροφῇ, καὶ καλιᾷ ὑψοῦται καὶ γαυριᾷ· ἀλλ' ἄμφω ἐπὶ ὠκύτητι· ὁ μὲν, ποδῶν· ὁ δὲ, πτερῶν. καὶ σὺ τοιγαροῦν μὴ ἐπὶ τροφῇ καὶ σκέπῃ, καὶ ἁπλῶς τῇ ἔξωθεν περιουσίᾳ μέγα ὀγκύλλου· ἀλλ' ἐπὶ χρηστότητι, καὶ εὐποιΐᾳ.

XXIII. Si inter Persas genitus esses, non desiderares habitare in Græcia; sed illic vitam feliciter transigere. Quid igitur, in paupertate natus, quæris ditescere, non autem ibi manens vitam feliciter transigere?

XXIV. Quemadmodum in parvo humilique grabato anguste cubantem, sanum esse satius est, quàm in amplo lecto se volutantem, ægrotare: sic & in exigua fortuna melius est sese contrahentem, beatè vivere; quàm in magna fortuna, vitam infelicem transigere.

XXV. Non paupertas molestiam facit; sed cupiditas. Neque divitiæ à metu liberant; sed ratio. Si igitur rationem tibi comparaveris, neque divitias concupisces; neque paupertatem incusabis.

XXVI. Nec equus ob præsepe, & phaleras, & tapetes; nec avis ob floccos, ac nidum effertur, iisque gloriatur: sed utraque animalia ob celeritatem; illud quidem, pedum; hoc verò, alarum. Quare tu quoque ob alimenta, & vestes, & omnino ob externas opes ne magnifice te efferas; sed ob probitatem, & beneficentiam.

κζ. Τὸ καλῶς ζῆν, τοῦ πολυτελῶς, διαφέρει. τὸ μὲν γὰρ, ἐκ σωφροσύνης, καὶ αὐταρκείας, καὶ εὐταξίας, καὶ κοσμιότητος, καὶ εὐτελείας παραγίνεται· τὸ δὲ, ἐξ ἀκολασίας, καὶ τρυφῆς, καὶ ἀταξίας, καὶ ἀκοσμίας. τέλος δὲ, τοῦ μὲν, ἔπαινος ἀληθής· τοῦ δὲ, ψόγος. εἰ τοίνυν βούλει καλῶς ζῆν, μὴ ζήτει μετὰ πολυτελείας ἐπαινεῖσθαι.

κη. Μέτρον ἔσω σοι παντὸς σίτου καὶ πότου, ἡ πρώτη τῆς ὀρέξεως ἔμπλησις· ὄψον δὲ, καὶ ἡδονὴ, αὐτὴ ἡ ὄρεξις. καὶ οὔτε πλείονα τῶν δεόντων προσοίσῃ, οὔτε ὀψοποιῶν δεήσῃ, πόματε τῷ παραπεσόντι ἀρκεσθήσῃ.

κθ. Τὰς σιτήσεις ποιοῦ, μὴ ἀνειμένας, καὶ σκυθρωπάς· ἀλλὰ λαμπρὰς, καὶ εὐτελεῖς. ἵνα μήτε διὰ τὰ σωματικὰ αἱ ψυχαὶ ταράττωνται φαινακιζόμεναι, καὶ τῶν ἡδονῶν τῶν σωματικῶν ὀλιγωρῶσιν, ἔπειτα βλάπτωνται, τρυφῶντα μὲν παραυτίκα πλοῦτον, νοσοῦντα δὲ εἰσαῦθις τὰ σώματα.

XXVII. Bene vivere, & ſumtuoſè, differunt. Illud enim ex temperantia, & ſufficientia, & bono ordine, & decore, & frugalitate provenit: hoc verò, ex intemperantia, & luxu, ac ordinis omnis & decori neglectu. Quorum illud, vera laus conſequitur; hoc verò, vituperium. Si igitur vis bene vivere, ne quæras ob nimios ſumtus laudari.

XXVIII. Modus tibi ſit omnis cibi ac potûs, prima adpetitionis repletio: obſonium autem, & voluptas, ipſa ſit adpetitio. Atque ita nec plura quàm opus eſt ingeres, nec obſoniorum inſtructoribus egebis, & potu quovis contentus eris.

XXIX. Cibi adſumendi rationes inſtituito, non remiſſas, & triſtes; ſed ſplendidas, & frugales. Ut nec ob corporis neceſſitates animæ deceptæ perturbentur, & corporis voluptates contemnant: deinde etiam, ut ne corpora lædantur, ſi divitiis ad præſens luxurientur; in poſterum verò morbis adfligantur.

λ. Φρόντιζε ὅπως σε μὴ τὰ ἐν τῇ γαστρὶ μόνον ἐπαινῇ, ἀλλ' ἡ ἐν τῇ ψυχῇ εὐφρασία. ἐπεὶ τὰ μὲν, ἀποσκυβαλίζεται, καὶ συνεκρεῖ, ὡς ὁ ῥοῦς· ἡ δὲ, κἂν ἡ ψυχὴ χωρισθῇ, διαπαντὸς ἀκήρατος μένει.

λα. Ἐν ταῖς ἑστιάσεσι μελέτα, τίσι τὰ δύο ὑποδέχῃ, σῶμα καὶ ψυχήν. καὶ ὅ,τι ἂν τῷ σώματι δῷς, τοῦτο εὐθὺς ἐξέχεας· ὅ,τι δὲ ἂν τῇ ψυχῇ, διαπαντὸς τηρεῖς.

λβ. Μὴ συγκεράσας ἅμα ὀργὴν πολυτελεία προσένεγκαι. πολυτέλεια μὲν πηδήσασα τῷ σώματι, μετ' οὐ πολὺ οἴχεται· ἡ δὲ ὀργὴ ἐνδὺς, ἐπὶ τὸ μήκιστον μένει. σκόπει τοιγαροῦν, ὅπως μὴ ὑπ' ὀργῆς ἐξαχθεὶς, τοὺς δαιτυμόνας πολυτελῶς ὑβρίσῃς· ἀλλὰ μᾶλλον μεθ' ἡμερότητος εὐτελῶς εὐφράνῃς.

λγ. Μελέτω σοι ἐν τοῖς σιτίοις, ὅπως σοι οἱ ὑπουργοῦντες μὴ πλουσιώτεροι τῶν ὑπουργουμένων ὑπάρχωσιν. ἄτοπον γὰρ, ὀλίγαις στιβάσι πολλὰς δουλεύειν ψυχάς.

XXX. Cura ut non solùm quæ ventri dederis te exhilarent; sed, quam anima possides, lætitia. Quoniam illa excernuntur, & simul effluunt, uti fluxio: hæc autem, quamvis anima separetur, perpetuò incorrupta manet.

XXXI. In conviviis considera, quibus bina hæc excipias, corpus & animam. Tum quodcunque corpori dederis, illud statim te effundere; at quodcunque animæ, semper illud te servare.

XXXII. Noli iram cum luxu miscens adponere. Luxus enim ubi in corpus transierit, paulò post abit: at ira cum animum subierit, diutissime immoratur. Vide sis igitur, ne irâ concitatus convivas luxuriose injuriâ adficias; sed potius cum mansuetudine frugaliter exhilares.

XXXIII. Curæ tibi sit ne in cibo capiendo plures ministri sint, quàm quibus ministratur. Absurdum enim, paucis toris multas inservire animas.

λδ. Ἄριστον μὲν, εἰ κἀν ταῖς παρασκευαῖς χειρουργῶν, κἀν ταῖς τροφαῖς ἑστιώμενος, κυβερνᾷς τοῖς θεραπεύουσι τῶν παρόντων. εἰ δὲ τὸ τοιόνδε δυσχερὲς τῷ καιρῷ ὑπάρχοι, μέμνησο, ὅτι μὴ κάμνων ὑπ' ὀκνούντων ὑπουργῇ, ἐσθίων ὑπὸ μὴ ἐσθιόντων, πίνων ὑπὸ μὴ πινόντων, λαλῶν ὑπὸ σιωπώντων, ἀνειμένος ὑπὸ συνεσταλμένων. καὶ οὔτε αὐτὸς φλεγμήνας ἄτοπον πείσῃ, οὔθ' ἕτερον ἀγειάνας, χαλεπὸν ἐργάσῃ.

λε. Ἐρίζειν καὶ φιλονεικεῖν, πάντη μὲν ἄτοπον, μάλιστα δὲ ἐν ταῖς παρὰ πότον ὁμιλίαις ἀπρεπές. οὔτε γὰρ ἂν μεθύων νήφοντα διδάξειέ τις, οὔτ' αὖ μεθύων πρὸς νήφοντος πεισθείη. ἔνθα δὲ ἂν μὴ παρῇ νῆψις, τέλος εἰκῆ σε παρέχει διατείνεσθαι.

λϛ. Οἱ τέττιγες, μουσικοί· οἱ δὲ κοχλίαι, ξηροί. χαίρουσι δὲ οἱ μὲν, ὑγραινόμενοι· οἱ δὲ, ἀλεαινόμενοι. ἔπειτα προσκαλεῖται τοὺς μὲν ἡ δρόσος, καὶ ἐπὶ ταύτῃ ἐκδύουσι· τοὺς δ' αὖ διεγείρει ἀκμάζων ὁ ἥλιος, καὶ ἐν αὐτῷ ᾄδουσι. τοιγαροῦν

XXXIV. Optimum quidem fuerit, ſi tum in conviviorum adparationibus manibus laborans; tum inter epulas, convivio exceptus, præſentium famulos gubernes. Quod ſi hujusmodi negotium difficile eo tempore fuerit, memento, laboranti tibi ab otioſis miniſtrari, edenti à non edentibus, bibenti à non bibentibus, loquenti à tacentibus, remiſſo ab intentis: nec ipſe inflammatus abſurdi quidquam patieris, nec alio efferato mali quid facies.

XXXV. Litigare & contendere, cum ubique abſurdum eſt, tum in ſermonibus, qui inter pocula feruntur, vel maximè indecorum. Neque enim ebrius quis ſobrium docuerit; nec rurſus ebrius à ſobrio fuerit perſuaſus. Quare ſi ſobrietas non adfuerit, tandem nequicquam te contendiſſe adparebit.

XXXVI. Cicadæ animal ſunt muſicum; cochleæ verò mutæ. Atque hæ quidem humectari gaudent; illæ autem, caleſcere. Deinde has provocat ros, & ejus cauſa caput exerunt: illas autem fervens ſol excitat, & in ipſo cantillant. Quamobrem

εἰ βούλει μουσικὸς καὶ εὐάρμοστος ὑπάρχειν ἀνὴρ, ἡνίκα ἐν τοῖς πότοις ὑπὸ τοῦ οἴνου διερεθισθῇ ἡ ψυχὴ, τότε αὐτὴν μὴ ἔα περιϊοῦσαν μολύνεσθαι· ἀλλ᾽ ἡνίκα ἂν ἐν τοῖς συνεδρίοις ὑπὸ τοῦ λόγου διαπυρωθῇ, τότε θεσπίζειν, καὶ ᾄδειν τὰ τῆς δικαιοσύνης κέλευε λόγια.

λζ. Τὸν προσομιλοῦντα τεχνῇ διασκοποῦ· ἢ ὡς ἀμείνονα, ἢ ὡς ἥττονα, ἢ ὡς ἴσον. καὶ εἰ μὲν ἀμείνονα, ἀκούειν χρὴ, καὶ πείθεσθαι αὐτῷ· εἰ δὲ ἥττονα, ἀπειθεῖν· εἰ δὲ ἴσον, συμφωνεῖν. καὶ οὔποτε ἁλώσῃ φιλονεικίας.

λη. Α῎μεινον τῇ ἀληθείᾳ συγχωρήσαντα, τὴν δόξαν νικᾷν· ἢ τῇ δόξῃ συγχωρήσαντα, πρὸς τῆς ἀληθείας ἡττᾶσθαι.

λθ. Ζηλῶν τὴν ἀλήθειαν, οὐ ζητήσεις τὸ ἐκ παντὸς τρόπου νικᾷν· καὶ εὑρὼν τὴν ἀλήθειαν, ἕξεις τὸ μὴ νικᾶσθαι.

μ. Ἡ ἀλήθεια παρ᾽ αὐτῇ νικᾷ· ἡ δὲ δόξα, παρὰ τοῖς ἔξω.

ſi vis muſicus eſſe vir & concinnus, quando inter pocula à vino anima irrorata fuerit, tunc ipſam ne ſinas egreſſam inquinari; ſed cum in conſeſſibus à ratione anima accenſa fuerit, tunc vaticinari eam, & canere juſtitiæ oracula jube.

XXXVII. Converſantem tecum tripliciter conſidera; aut ut præſtantiorem, aut ut deteriorem, aut ut æqualem. Quod ſi præſtantiorem deprehenderis, audire convenit, eique obtemperare; quod ſi deteriorem, non obtemperare; at ſi æqualem, ei conſonare: & nunquam contentionis ſtudio abripieris.

XXXVIII. Satius eſt, veritati concedentem, opinionem vincere; quàm opinioni concedentem à veritate ſuperari.

XXXIX. Quærens veritatem, non quæres omni modo vincere; & inventa veritate illud habebis, ne vincaris.

XL. Veritas apud ſeſe vincit: opinio autem, apud exteros.

μα. Βέλτιον μετὰ ἑνὸς ἐλευθέρου ζῶντα, ἄφοβον καὶ ἐλεύθερον ὑπάρχειν· ἢ μετὰ πολλῶν δουλεύειν.

μβ. Ὀ φεύγεις παθεῖν, τοῦτο μὴ ἐπιχείρει διαθεῖναι. φεύγεις δὲ δουλείαν, φυλάσσου δουλεύεσθαι. ὑπομένων γὰρ δουλεύεσθαι, αὐτὸς ὑπάρχειν πρότερον ἔοικας δοῦλος. οὔτε γὰρ κακία ἀρετῇ κοινωνεῖ, οὔτε ἐλευθερία δουλείᾳ.

μγ. Ὥσπερ ὁ ὑγιαίνων οὐκ ἂν ὑπὸ νοσούντων βούλοιτο θεραπεύεσθαι, οὔτε τοὺς συνοικοῦντας ἑαυτῷ, νοσεῖν· οὕτως οὔτε ἐλεύθερος ἀνάσχοιτ' ἂν ὑπὸ δούλων ὑπηρετεῖσθαι, ἢ τοὺς συμβιοῦντας ἑαυτῷ, δουλεύειν.

μδ. Ὅς τις θέλεις δούλων ἐκτὸς ὑπάρχειν, αὐτὸς ἀπολύθητι δουλείας. ἔσῃ δ' ἐλεύθερος, ἂν ἀπολυθῇς ἐπιθυμίας. οὔτε γὰρ ἀριστείδης, οὔτε ἐπαμινώνδας, οὔτε λυκοῦργος, πλουτοῦντες καὶ δουλευόμενοι· ὁ μὲν, δίκαιος· ὁ δὲ, θεός· ὁ δὲ, σωτὴρ προσηγορεύθησαν· ἀλλ' ὅτι πενόμενοι τὴν ἑλλάδα δουλείας ἀπέλυον.

XLI. Melius eſt cum uno libero viventem, interritum & liberum eſſe; quàm cum multis ſervire.

XLII. Quod pati fugis, hoc diſponere ne ſuſcipias. Fugis autem ſervitutem; cave igitur ne tibi ſerviatur. Si enim ut tibi ſerviatur toleres, ipſe ſervus antea fuiſſe videris. Neque enim cum virtute vitium communionem habet, neque cum libertate ſervitus.

XLIII. Quemadmodum ſanus ab ægris ſibi miniſtrari nollet, nec ſecum habitantes, ægrotare: ita neque liber à ſervis ſibi miniſtrari ſuſtinuerit; aut qui ſecum vivunt, ſervire.

XLIV. Quiſquis volueris ſejunctus à ſervis eſſe, ipſe à ſervitute te libera. Eris autem liber, ſi ſolutus fueris à cupiditate. Neque enim Ariſtides, neque Epaminondas, neque Lycurgus, quod divites eſſent, & famulitio inſignes, ille juſtus, iſte deus, hic ſervator, adpellati ſunt; ſed quod pauperes Græciam à ſervitute liberaverint.

με. Εἰ θέλεις τὴν οἰκίαν εὖ οἰκεῖσθαι, μιμοῦ τὸν σπαρτιάτην λυκοῦργον. ὃν γὰρ τρόπον οὗτος, οὐ τείχεσι τὴν πόλιν ἔφραξεν, ἀλλ' ἀρετῇ τοὺς ἐνοικοῦντας ὠχύρωσε, καὶ διαπαντὸς ἐτήρησεν ἐλευθέραν τὴν πόλιν· οὕτω καὶ σὺ μὴ μεγάλην αὐλὴν περίβαλλε, καὶ πύργους ὑψηλοὺς ἀνίστα· ἀλλὰ τοὺς ἐνοικοῦντας εὐνοίᾳ, καὶ πίστει, καὶ φιλίᾳ στήριζε, καὶ οὐδὲν εἰς αὐτὴν εἰσελεύσεται βλαβερόν· οὐδ' ἂν τὸ σύμπαν τῆς κακίας παρατάξηται στῖφος.

μϛ. Μὴ πίναξι καὶ γραφαῖς τὴν οἰκίαν σου περίβαλλε· ἀλλὰ σωφροσύνῃ κατάγραφε. τὸ μὲν γὰρ ἀλλοῖον, καὶ τῶν ὀφθαλμῶν ἐστιν ἐπίκαιρος γοητεία· τὸ δὲ, σύμφυτος, καὶ ἀνεξάλειπτος, καὶ ἀΐδιος οἰκίας κόσμος.

μζ. Ἀντὶ βοῶν ἀγέλης, πειρῶ φίλων ἀγέλας ἐναγελάζεσθαί σου τῇ οἰκίᾳ.

μη. Ὥσπερ λύκος ὅμοιον κυνί· οὕτω καὶ κόλαξ, καὶ μοιχὸς, καὶ παράσιτος, ὅμοιος φίλῳ. πρόσεχε τοιγαροῦν, μὴ ἀντὶ κυνῶν φυλάκων, λάθῃς λυμεῶνας εἰσδεχόμενος λύκους.

XLV. Si domum benè habitari vis, Spartanum Lycurgum imitare. Quemadmodum enim ille, non muris urbem circumdedit, ſed virtute inhabitantes munivit, & liberam perpetuò urbem conſervavit; ita quoque tu, ne magnam aulam rebus tuis circumda, & turres altas erige; ſed inhabitantes benevolentia, ac fide, & amicitia confirma, nec quidquam quod noceat in eam ingredietur; ne quidem ſi univerſa vitiorum caterva inſtructâ acie eam oppugnaret.

XLVI. Ne tabulis ac picturis domum tuam circumcirca orna; ſed temperantiâ ipſam pinge. Illud enim alienum eſt, & oculorum temporariæ præſtigiæ; hoc autem, congenitus, & indelebilis, ac æternus domui ornatus exiſtit.

XLVII. Pro boum grege, amicorum greges in domum tuam congregare ſtude.

XLVIII. Sicut lupus cani ſimilis eſt; ita & adulator, & adulter, & paraſitus, ſimilis amico. Cave igitur, ne canum cuſtodum loco perniciosos lupos neſcius recipias.

μθ. Τῷ μὲν γύψῳ λευκανθίζουσαν σπουδάζειν θαυμάζεσθαι τὴν οἰκίαν, ἀπειρόκαλου· τὸ δὲ ἦθος χρηστότητι κοινωνίας λαμπρύνειν, φιλοκάλου τὲ ἅμα καὶ φιλανθρώπου.

ν. Ἐὰν θαυμάζῃς τὰ μικρὰ πρῶτον, μεγάλων οὐκ ἀξιωθήσῃ· ἐὰν δὲ καταφρονήσῃς τῶν μικρῶν, μεγάλως θαυμασθήσῃ.

να. Οὐδὲν μικρότερον φιληδονίας, καὶ φιλοκερδίας, καὶ ἀλαζονείας· οὐδὲν κρεῖσσον μεγαλοψυχίας, καὶ πραότητος, καὶ φιλανθρωπίας.

νβ. Τοὺς δυσχερεῖς δὲ φιλοσόφους εἰς μέσον ἄγοντες, οἷς οὐ δοκεῖ κατὰ φύσιν ἡδονὴ εἶναι, ἀλλ᾽ ἐπιγίγνεσθαι τοῖς κατὰ φύσιν, δικαιοσύνη, σωφροσύνη, ἐλευθερία. τί ποτ᾽ οὖν ἡ ψυχὴ, ἐπὶ μὲν τοις τοῦ σώματος ἀγαθοῖς μικροτέροις οὖσι χαίρει, καὶ γαληνιᾷ, ὥς φησιν Ἐπίκουρος· ἐπὶ δὲ τοῖς αὑτῆς ἀγαθοις μεγίστοις οὖσιν, οὐχ ἥδεται; καί τοι καὶ δέδωκέν μοι ἡ φύσις αἰδῶ, καὶ πολλὰ ὑ-

XLIX. Operam dare, ut gypſo albeſcens domus alios in admirationem trahat, hominis eſt nimio ornandi ſtudio detenti: mores autem communicationis ſuavitate ſplendidos reddere, illius eſt, qui ſimul honeſtum amet & homines.

L. Si parva primùm admirére, magnis indignus judicábere: at ſi parva ſpreveris, admirationi eris magnæ.

LI. Nihil abjectius eſt luxuriâ, & avaritiâ, & adrogantiâ: nihil præſtantius magnanimitate, & manſuetudine, & humanitate.

LII. Moleſtos autem philoſophos in medium producamus, quibus non videtur ſecundùm naturam voluptas eſſe, ſed iis quæ ſecundùm naturam ſunt, juſtitiæ, temperantiæ, libertati, ſuccedere. Quid ergo anima corporis quidem bonis quæ minora ſunt gaudet, & tranquillatur, ut Epicurus inquit; ſuis autem bonis, quæ maxima ſunt, non delectatur? Attamen & pudorem mihi na-

περυθριῶ, ὅταν τι ὑπολάβω αἰσχρὸν λέγειν. τοῦτό με τὸ κίνημα οὐκ ἐᾷ τὴν ἡδονὴν θέσθαι ἀγαθὸν, καὶ τέλος τοῦ βίου.

νγ. Ἐν ῥώμῃ αἱ γυναῖκες μετὰ χεῖρας ἔχουσι τὴν πλάτωνος πολιτείαν, ὅτι κοινὰς ἀξιοῖ εἶναι τὰς γυναῖκας. τοῖς γὰρ ῥήμασι προσέχουσι τὸν νοῦν, οὐ τῇ διανοίᾳ τἀνδρός. ὅτι οὐ γαμεῖν κελεύων, καὶ συνοικεῖν ἕνα μιᾷ, εἶτα κοινὰς εἶναι βούλεται τὰς γυναῖκας· ἀλλ' ἐξαιρῶν τὸν τοιοῦτον γάμον, καὶ ἄλλό τι εἶδος γάμου εἰσφέρων. καὶ τὸ ὅλον οἱ ἄνθρωποι χαίρουσιν, ἀπολογίας τοῖς ἑαυτῶν ἁμαρτήμασι πορίζοντες. ἐπεί τοι φιλοσοφία φησὶν, ὅτι οὐδὲ τὸν δάκτυλον ἐκτείνειν εἰκῆ προσήκει.

νδ. Τῶν ἡδέων τὰ σπανιώτατα γιγνόμενα, μάλιστα τέρπει.

νε. Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γίγνοιτο.

νϛ. Διὰ τοῦτο ἐπαινεῖν ἀγριππῖνον δίκαιον, ὅτι πλείστου ἄξιος ἀνὴρ γενόμενος, οὐδε-

tura tribuit, & admodum erubeſco, cum turpe quid me dicere autumo. Iſte me motus non ſinit voluptatem ſtatuere bonum, & finem vitæ.

LIII. Romæ mulieres, Platonis de Republica libros in manibus habent, quod communes velit eſſe mulieres. Ad verba enim, non autem ad ſententiam viri, animum advertunt. Neque enim dum uxorem ducere non jubet, & unum uni cohabitare, inde communes vult eſſe mulieres; ſed hujusmodi nuptias tollit, aliudq́ue nuptiarum genus introducit. In ſumma, homines gaudent, quando peccatis ſuis patrocinia inveniunt. At verò philoſophia dicit, ne digitum quidem ſine cauſa eſſe extendendum.

LIV. Jucundorum ea quæ rariſſime fiunt, maxime oblectant.

LV. Si qvis excedat modum, quæ ſuaviſſima ſunt quàm maxime inſuavia fieri poſſint.

LVI. Propterea meritò laudandus Agrippinus, quod cum vir eſſet maximi faciendus,

πώποτε ἐπῄνεσεν ἑαυτόν· ἀλλ' εἰ καὶ ἄλλος τις αὐτὸν ἐπῄνει, ἠρυθρία. οὗτος δ', ἔφη, ὁ ἀνὴρ τοιοῦτος ἦν, ὥστε τοῦ συμβαίνοντος ἀεὶ ἑαυτῷ δυσκόλου, ἔπαινον γράφειν. εἰ μὲν πυρέττοι, πυρετοῦ· εἰ δὲ ἀδοξοῖ, ἀδοξίας· εἰ δὲ φύγοι, φυγῆς. καί ποτε μέλλοντι, ἔφη, αὐτῷ ἀριστήσειν, ἐπέστη ὁ λέγων, ὅτι φεύγειν αὐτὸν κελεύει Νέρων. καὶ ὃς, ἔφη, οὐκοῦν, εἶπεν, ἐν Ἀρικίᾳ ἀριστήσομεν.

νζ. Διογένης οὐδένα καλὸν ἔφησεν εἶναι πόνον, οὗ μὴ τέλος εἴη εὐψυχία, καὶ τόνος ψυχῆς, ἀλλ' οὐχὶ σώματος.

νη. Ὥσπερ ἀληθὴς ζυγὸς, οὔτε πρὸς ἀληθοῦς ἰθύνεται ζυγοῦ, οὔθ' ὑπὸ ψευδοῦς κρίνεται· οὕτω καὶ ὁ δίκαιος κριτὴς, οὔθ' ὑπὸ δικαίων εὐθύνεται, οὔτε παρ' ἀδίκοις δικάζεται.

νθ. Ὥσπερ τὸ εὐθὺ εὐθέος οὐ δεῖται· οὕτως οὐδὲ τὸ δίκαιον δικαίου.

ξ. Μὴ πρότερον ἑτέρῳ δικαστηρίῳ δικάσῃς, πρὶν αὐτὸς παρὰ τῇ δίκῃ κριθῇς.

nunquam ſeipſum laudaret: ſed &, ſi quis alius ipſum laudaret, erubeſceret. Hîc autem, inquiebat, vir talis erat, ut ejus quod illi accidiſſet mali laudationem ſcriberet. Si quidem febricitaret, febris; ſi dedecore adficeretur, dedecoris; ſi exularet, exilii. Et aliquando, inquiebat, pranſuro ipſi adſtitit, qui diceret; jubere Neronem ut in exilium abiret: hic autem; Primum ergo, inquit, in Aricia prandebimus.

LVII. Diogenes nullum inquiebat bonum eſſe laborem, cujus finis non eſſet æquitas animi, ejusdemque intentio; non autem intentio corporis.

LVIII. Sicut vera trutina, neque à vera trutina corrigitur, neque à falſa judicatur: ita quoque juſtus judex, neque à juſtis corrigitur, neque apud injuſtos judicatur.

LIX. Uti rectum non eget recto; ita nec juſtum juſto.

LX. Ne prius in alio tribunali judicaveris, quàm ipſe coram juſtitia judicatus fueris.

ξα. Εἰ βούλει τὰς κρίσεις δικαίας ποιεῖσθαι, μηδένα τῶν δικαζομένων, καὶ δικαιολογούντων, ἐπιγίνωσκε, ἀλλ' αὐτὴν τὴν δίκην.

ξβ. Ἥκιστα πταίσεις ἐν ταῖς κρίσεσιν, ἐὰν αὐτὸς ἐν τῷ βίῳ ἄπταιστος διατελῇς.

ξγ. Ἄμεινον, δικαίως κρίνοντα, πρὸς τοῦ καταδικασθέντος ἀξίως, μεμφθῆναι· ἢ ἀδίκως κρίναντα παρὰ τῇ φύσει δικαίως ψέγεσθαι.

ξδ. Καθάπερ ἡ τὸν χρυσὸν δοκιμάζουσα λίθος, οὐκέτι καὐτὴ πρὸς τοῦ χρυσοῦ δοκιμάζεται· οὕτω καὶ ὁ τὸ κριτήριον ἔχων.

ξε. Αἰσχρὸν, τὸν δικαστὴν πρὸς ἑτέρων δικάζεσθαι.

ξς. Καθάπερ ὀρθοῦ οὐδὲν ὀρθότερον· οὕτως οὐδὲ δικαίου οὐδὲν δικαιότερον.

ξζ. Τὸ δὲ Λυκούργου, τοῦ Λακεδαιμονίου, τίς ἡμῶν οὐ θαυμάζει; πηρωθεὶς γὰρ ὑπό τινος τῶν πολιτῶν, ὀφθαλμῶν τὸν ἕτερον, καὶ παραλαβὼν τὸν νεανίσκον παρὰ τοῦ δήμου, ἵνα τιμωρήσαιτο, ὅπως αὐτὸς βούληται, τούτου μὲν ἀπέσχετο· παιδεύ-

LXI. Si justa velis judicia facere, nullum cognoscas contendentium, & causam dicentium, sed ipsam causam.

LXII. Minime in judiciis peccaveris, si ipse irreprehensibilis vitam traduxeris.

LXIII. Satius est, eum qui juste judicaverit, ab eo, qui meritò condemnatus est, reprehendi; quàm eum qui injustè judicaverit, à natura justè vituperari.

LXIV. Quemadmodum qui aurum probat lapis, non contra & ipse ab auro probatur; sic & qui judicandi facultatem habet.

LXV. Turpe est judicem ab aliis judicari.

LXVI. Quemadmodum recto nihil rectius; sic neque justo quidquam justius.

LXVII. Lycurgi Lacedæmonii factum quis vestrûm non admiratur? Nam à cive quopiam oculorum altero orbatus, cum juvenem à populo accepisset, ut quo vellet ipse modo puniret, ab hoc abstinuit. Cum au-

σας δὲ αὐτὸν, καὶ ἀποφήνας ἄνδρα ἀγαθὸν, παρήγαγεν εἰς τὸ θέατρον. θαυμαζόντων δὲ τῶν λακεδαιμονίων· τοῦτον μέν τοι λαβὼν, ἔφη, παρ' ὑμῶν ὑβριστὴν, καὶ βίαιον, ἀποδίδωμι ὑμῖν ἐπιεικῆ καὶ δημοτικόν.

ξη. Πιττακὸς ἀδικηθεὶς ὑπό τινος, καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν, εἰπών· Συγγνώμη τιμωρίας ἀμείνων. τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι· τὸ δὲ, θηριώδους.

ξθ. Ἀλλὰ παντὸς μᾶλλον τῆς μὲν φύσεως ἐκεῖνο τὸ ἔργον, συνδῆσαι καὶ συναρμόσαι τὴν ὁρμὴν τῆς τοῦ προσήκοντος, καὶ ὠφελίμου φαντασίας.

ο. Τὸ δὲ οἴεσθαι εὐκαταφρονήτους τοῖς ἄλλοις ἔσεσθαι, ἐὰν μὴ τοὺς πρώτους ἐχθροὺς παντὶ τρόπῳ βλάψωμεν, σφόδρα ἀγεννῶν, καὶ ἀνοήτων ἀνθρώπων. φαμὲν γὰρ τὸν εὐκαταφρόνητον, νοεῖσθαι μὲν καὶ κατὰ τὸ δυνατὸν εἶναι βλάψαι· ἀλλὰ πολὺ μᾶλλον νοεῖται κατὰ τὸ δυνατὸν εἶναι ὠφελεῖν.

tem illum inſtituiſſet, bonumque virum effeciſſet, in theatrum eum adduxit. Admirantibus autem Lacedæmoniis; Hunc, inquiebat, quem à vobis injurium ac violentum acceperam, modeſtum ac popularem reddo.

LXVIII. Pittacus, injuriâ à quodam adfectus, cùm poteſtatem haberet puniendi, ipſum dimiſit, dicens: Venia ultione melior. Illud enim mitis ingenii eſt; hoc autem ferini.

LXIX. Hoc in primis eſt naturæ opus, colligare & coaptare impetum, tum illius viſi, quod conveniens, tum quod utile occurrit.

LXX. Putare ſe contemtibiles fore aliis, niſi primos hoſtes omni modo lædant, valde degenerum ac inſipientium hominum eſt. Dicimus enim illum minime contemtibilem qui intelligat, quando nocere poſſit; ſed multo magis qui intelligat, quando poſſit prodeſſe.

οα. Οὕτω μετὰ ἀναστάσεως καὶ ἀπειλῆς ἐπιχειρεῖς, μέμνησο προλέγειν, ὅτι ἥμερος εἶ· καὶ οὐδὲν ἄγριον δράσας, ἀμεταμόνητος καὶ ἀνεύθυνος διατελέσῃ.

οβ. Εἰδέναι χρὴ, ὅτι οὐ ῥᾴδιον δόγμα περιγενέσθαι ἀνθρώπῳ, εἰ μὴ καθ᾽ ἑκάστην ἡμέραν τὰ αὐτὰ καὶ λέγῃ τις, καὶ ἀκούῃ, καὶ ἅμα χρῷτο πρὸς τὸν βίον.

ογ. Ὥς περ οἱ ἐπὶ τῶν λιμένων πυρσοὶ, δι᾽ ὀλίγων φρυγάνων πολλὴν ἀνάψαντες φλόγα, ταῖς ἀλωμέναις ἀνὰ τὸ πέλαγος ναυσὶν ἱκανὴν ἐργάζονται βοήθειαν· οὕτω καὶ ἀνὴρ λαμπρὸς, ἐν πόλει χειμαζομένῃ, αὐτὸς ὀλίγοις ἀρκούμενος, μεγάλα τοὺς πολίτας εὐεργετεῖ.

οδ. Ὥς περ εἰ ναῦν κυβερνᾷν ἐπεχείρεις, πάντως ἂν τὴν κυβερνητικὴν ἐξεμάνθανες τέχνην. ἔξεστι γάρ σοι, ὥς περ ἐκεῖσε πᾶσαν τὴν ναῦν, οὕτω κἀνθάδε πᾶσαν κυβερνᾷν πόλιν.

οε. Εἰ προήκειταί σοι τὴν πόλιν ἀναθήμασι κοσμεῖν, σεαυτῷ πρῶτον ἀνάθες τὸ κάλλιστον

LXXI. Si quem cum impetu & comminatione adgredi velis, memento prædicere, te esse mansuetum: adeoque cum nihil immane commiseris, sine pœnitentia innocens vitam traduces.

LXXII. Sciendum est, non facile ullam opinionem inhæsuram homini, nisi quotidie eadem & dicat quis, & audiat, simulque ad vitam iisdem utatur.

LXXIII. Sicut in portubus editi ignes, paucis sarmentis magnam flammam excitantes, errantibus per mare navibus multum auxilii ferunt: Sic & vir clarus, in urbe, difficilibus temporibus jactatâ, paucis ipse contentus, magnis beneficiis cives adficit.

LXXIV. Veluti si navim gubernare susciperes, gubernandi artem omnino perdidicisses. Licebit enim tibi, quemadmodum ibi totam navim, ita hîc totam gubernare urbem.

LXXV. Si propositum tibi fuerit, donariis urbem ornare; teipsum primum, ut opti-

ἡμερότητος, καὶ δικαιοσύνης, καὶ εὐποιΐας ἀνάθημα.

οϛ. Εὐποιήσεις τὰ μέγιστα τὴν πόλιν, εἰ μὴ τοὺς ὀρόφους ὑψώσῃς, ἀλλὰ τὰς ψυχὰς αὐξήσῃς. ἄμεινον γὰρ, ἐν μικροῖς οἰκήμασι μεγάλας οἰκεῖν ψυχάς· ἢ ἐν μεγάλαις οἰκίαις ταπεινὰ φωλεύειν ἀνδράποδα.

οζ. Μὴ τοῖς ἐξ εὐβοίας καὶ σπάρτης λίθοις τοὺς τοίχους τῇ κατασκευῇ ποίκιλλε· ἀλλὰ γὰρ τῇ ἐκ τῆς ἑλλάδος παιδείᾳ τὰ στέρνα τῶν πολιτῶν, καὶ τῶν πολιτευομένων διακόσμει. γνώμαις γὰρ ἀνδρῶν εὖ οἰκοῦνται πόλεις· ἀλλ' οὐ λίθοις καὶ ξύλοις.

οη. Ὥσπερ εἰ λέοντας ἐβούλου τρέφειν, οὐκ ἄν σοι τῆς πολυτελείας τῶν ζωγρείων ἔμελεν, ἀλλὰ τῆς πράξεως τῶν ζώων· οὕτως εἰ πολιτῶν πειρᾷ προΐστασθαι, μὴ τοσοῦτον τῆς πολυτελείας τῶν ἀναστημάτων φρόντιζε, ὁπόσον τῆς ἀνδρείας τῶν ἐνδιατριβόντων ἐπιμελοῦ.

mum manſuetudinis, & juſtitiæ, & beneficentiæ donarium conſecra.

LXXVI. Summis beneficiis urbem tu adficies, ſi non tam ædificiorum faſtigia in altum evexeris, quàm civium animos virtutibus auxeris. Præſtat quippe, in parvis domunculis magnos habitare animos; quàm in magnis ædibus, tanquam in latibulis, humilia latitare mancipia.

LXXVII. Ne lapidibus, ex Eubœa & Sparta advectis, parietum ſtructuram variato; ſed potiùs ex Græcia accerſita diſciplina civium, & rempublicam gerentium animos exornato. Quippe virorum ſententiis, non autem lapidibus & lignis urbes exornantur.

LXXVIII. Quemadmodum leones alturus, non de cavearum magnificentia curam ſuſciperes, ſed de actione animalium: ita ſi civibus præeſſe coneris, ne tantum ædificiorum magnificentiam cures, quantum inhabitantium fortitudinem.

οθ. Καθάπερ ἀγαθὸς πωλοδάμνης, οὐ τῶν πώλων τοὺς μὲν ἀγαθοὺς τρέφει, τοὺς δὲ δυσηνίους λιμώττειν ἐᾷ· ἀλλὰ τρέφει μὲν ἐπίσης ἄμφω, κολάζει δὲ μᾶλλον θάτερον, ἐξισοῦν θατέρῳ βιαζόμενος μέρει. οὕτω καὶ κηδεμονικὸς ἀνὴρ, καὶ πολιτικῆς ἐπιστήμων δυνάμεως, τῶν πολιτῶν τοὺς μὲν εὐγνώμονας ποιεῖν ἐπιχειρεῖ· τοὺς δὲ ἔμπαλιν, οὐ καθάπαξ διαφθείρεσθαι, ἀλλὰ τροφῆς μὲν ἀμφοῖν ἥκιστα φθονεῖ, παιδεύει δὲ, καὶ σφοδρότερον ἐπισπέρχει τὸν ἀντιβαίνοντα τῷ λόγῳ καὶ τῷ νόμῳ.

π. Καθάπερ οὔτε κλαγγῇ χὴν, οὔτε βληχῇ καταπλήσσεται πρόβατον· οὕτως οὐδὲ πλήθους ἀνοήτου σε δεδιττέσθω φωνή.

πα. Ὥσπερ πλῆθος ἀκρίτως αἰτοῦν τί σε τῶν ἰδίων, οὐ δυσωπεῖ· οὕτω μηδὲ ὄχλον ἀδίκως σε δυσωποῦντα διατραπῇς.

πβ. Ὅπερ ἐπιβάλλει τῇ πόλει, τοῦτο εἴσφερε φθάνων· καὶ οὐδέποτε αἰτηθήσῃ τὰ μὴ ἐπιβάλλοντα.

LXXIX. Quemadmodum bonus equorum domitor, non bonos pullos alit, feroces autem famelicos relinquit; ſed ambos ex æquo nutrit, magis verò caſtigat alterum, & meliori ſimilem fieri cogit: ſic etiam vir providus, & civilis facultatis intelligens, civibus probis bene facere; malos autem non continuo perdere conatur: ſed alimentum quidem utrisque minime invidet; inſtituit verò, & vehementius incitat illum, qui rationi & legi obſtiterit.

LXXX. Quemadmodum nec anſer clangore, nec ovis balatu obſtupeſcit: ſic neque inſipientis vulgi vox te terreat.

LXXXI. Sicut vulgus absque judicio rerum tuarum aliquid petens, te non exorat: ita neque populo injuſte aliquid à te expetente, commovearis.

LXXXII. Quod urbi debetur, hoc vel antequam exigatur, pende: & nunquam à te petetur, quod ad ipſam non pertinet.

πγ. Ὥσπερ ὁ ἥλιος οὐ περιμένει λιτὰς καὶ γοητείας, ἵνα ἀνατείλῃ, ἀλλ' εὐθὺς λάμπει, καὶ πρὸς ἁπάντων ἀσπάζεται· οὕτω μηδὲ σὺ περίμενε κρότους, καὶ ψόφους, καὶ ἐπαίνους, ἵν' εὖ ποιήσῃς, ἀλλ' ἑκούσιος εὐεργέτει, καὶ ἴσα τῷ ἡλίῳ φιληθήσῃ.

πδ. Οὔτε ναῦν ἐκ μιᾶς ἀγκύρας, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον.

πε. Καὶ τοῖς σκέλεσι, καὶ ταῖς ἐλπίσι τὰ δυνατὰ δεῖ διαβαίνειν.

πϛ. Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι. τοῦ γὰρ ζῆν κακῶς, τὸ τεθνάναι κρεῖσσον.

πζ. Πύῤῥων ἔλεγε, μηδὲν διαφέρειν, ζῆν ἢ τεθνάναι. καί τις ἔφη πρὸς αὐτόν· τί οὖν σὺ οὐκ ἀποθνήσκεις; ὁ δὲ, ὅτι, εἶπεν, οὐδὲν διαφέρει.

πη. Θαυμαστὴ ἡ φύσις, καὶ ὥς φησι Ξενοφῶν, φιλόζωος. τὸ γοῦν σῶμα, τὸ πάντων ἀηδέστατον καὶ ῥυπαρώτατον, στέργομεν καὶ θεραπεύομεν. εἰ γὰρ ἔδει πέντε μόναις ἡμέραις θεραπεύ-

LXXXIII. Uti ſol non expectat preces ac blandimenta, ut oriatur; ſed illico ſplendet, & ab omnibus ſalutatur: ſic neque tu plauſus expecta, & ſtrepitus, ac laudes, ut benefacias; ſed ſponte tua beneficia confer, & æque ac ſol amaberis.

LXXXIV. Neque navi ex una ancora; neque vitæ ex una ſpe, ſtatio promittenda.

LXXXV. Et crura, & ſpes ad ea extendere oportet, quæ tranſire poſſis.

LXXXVI. Magis neceſſarium eſt mederi animæ, quàm corpori. Mori quippe præſtat, quàm malè vivere.

LXXXVII. Pyrrho ajebat, nihil intereſſe inter vitam ac mortem. Et cum quidam ad eum diceret; Cur igitur tu non moreris? Quia, reſpondit, nihil intereſt.

LXXXVIII. Mirabilis eſt natura, & ut Xenophon inquit, vitæ cupida. Corpus igitur iſtud omnium injucundiſſimum, & ſordidiſſimum, amamus, eique miniſtramus. Si enim quinque ſolùm dies vicini corpus

σαι τὸ τοῦ γείτονος σῶμα, οὐκ ἂν ὑπεμείναμεν. ὅρα γὰρ οἷόν ἐστιν, ἕωθεν ἀναστάντα, τρίβειν τοὺς ὀδόντας τοὺς ἀλλοτρίους. καὶ τι τῶν ἀναγκαίων ποιήσαντα, ἀπονίζειν ἐκεῖνα τὰ μέρη. τῷ ὄντι θαυμαστόν ἐστι, φιλεῖν πρᾶγμα, ᾧ τοσαῦτα λειτουργοῦμεν καθ' ἑκάστην ἡμέραν. νάττω τουτονὶ τὸν θύλακον, εἶτα κενῶ. τί τούτου βαρύτερον; ἀλλὰ θεῷ δεῖ με ὑπηρετεῖν. διὰ τοῦτο μένω, καὶ ἀνέχομαι, λούων τὸ δύστηνον τοῦτο σωμάτιον, χορτάζων, σκέπων. ὅτε δὲ νεώτερος ἦν, καὶ ἄλλό τι προσέταττέ μοι, καὶ ὅμως ἠνειχόμην αὐτοῦ. διατί οὖν οὐκ ἀνέχεσθε, ὅταν ἡ δοῦσα ἡμῖν φύσις τὸ σῶμα ἀφαιρῆται; φιλῶ, φησιν, αὐτό. οὐκοῦν ὃ νῦν δὴ ἔλεγον, καὶ αὐτὸ τὸ φιλεῖν ἡ φύσις σοι δέδωκεν. ἡ δ' αὐτὴ λέγει, ἄφες αὐτὸ ἤδη, καὶ μηκέτι πρᾶγμα ἔχε.

πθ. Ἐὰν νέος τελευτᾷ τὸν βίον, ἐγκαλεῖ τοῖς θεοῖς, ὅτι δέον αὐτὸν ἤδη ἀναπεπαῦσθαι, πρᾶγμα ἔχει. καὶ οὐδὲν, ὅταν προσίῃ ὁ θάνατος, ζῆν βούλεται, καὶ πέμπει παρὰ τὸν ἰατρὸν,

curandum esset, id non sustineremus. Vide enim, cujusmodi negotium sit; diluculo surgentem, alienos dentes fricare; & post opus aliquod necessarium, partes illas abluere. Revera mirum est, amari rem, cui tot indies ministeria exhibemus. Hanc peram farcio, & rursus evacuo: quid hoc molestius? Sed Deo me inservire oportet: ideoque maneo, & sustineo miserum hoc corpusculum lavare, pascere, tegere. Cum autem junior essem, etiam aliud quidpiam mihi imperabat, quod tamen ipsum sustinebam. Quare igitur non sustinetis, cum natura corpus, quod nobis dederat, aufert? Amo, inquit, ipsum. Quare etiam, quod nunc dicebam, ipsum amorem tibi natura dedit. Sed eadem dicit; Dimitte jam istud, nec amplius occupator.

LXXXIX. Cum juvenis è vita excedit, deos incusat; quod jam sibi quiescendum sit, cum negotiis est implicitus. Itaque cum mors accedit, vivere vult, & ad medicum mittit,

καὶ δεῖται αὐτοῦ μηδὲν ἀπολιπεῖν προθυμίας καὶ ἐπιμελείας. θαυμαστοὶ, ἔφη, ἄνθρωποι, μήτε ζῆν θέλοντες, μήτε ἀποθνήσκειν.

ϛ. Τοῦ πλείονος βίου, φαυλοτέρου δὲ, τὸν ἐλάσσω, ἀμείνονα ὄντα, παντὶ πάντως προαιρετέον.

ϛα. Πλούτῳ μὲν δὴ χρηστέον ὡς ὕλῃ τινὸς, οὐκ ἐπὶ παντὸς ὁμοίως.

ϛβ. Ἀρετὴν οὖν πᾶσι μᾶλλον εὐκλέον, ἢ πλοῦτον, ἀνοήτοις σφαλερόν. ὑπὸ γὰρ χρημάτων αὔξεται κακία. καὶ ὅσῳ τὶς ἂν ἄφρων ᾖ, τοσούτῳ πλέον ἐξυβρίζει, τὸ λυσσῶδες αὐτοῦ τῶν ἡδονῶν ἐκπληροῦν ἔχων.

ϛγ. Ἃ μὴ δεῖ ποιεῖν, μηδὲ ὑπονοοῦ ποιεῖν.

ϛδ. Ἀσφαλὴς πᾶς τόπος τῷ ζῶντι μετὰ δικαιοσύνης.

ϛε. Οἱ μὲν κόρακες, τῶν τετελευτηκότων τοὺς ὀφθαλμοὺς λυμαίνονται, ὅταν οὐδὲν αὐτῶν ἐστι χρεία· οἱ δὲ κόλακες, τῶν ζώντων τὰς ψυχὰς διαφθείρουσι, καὶ ταύτης ὄμματα τυφλώττουσιν.

ipſumque rogat, ne propenſum ſuum animum, ac diligentiam deſiderari patiatur. Mirabiles, inquiebat, homines ſunt, quod nec vivere, nec mori velint.

XC. Longiori vitæ, ſed pejori, breviorem, cum melior fuerit, quisque præferre omnino debet.

XCI. Divitiis utendum eſt tanquam alicujus materiâ, non ubique ſimiliter.

XCII. Virtus igitur omnibus optanda potius, quàm divitiæ, quæ ſtolidis ſunt periculoſæ. Vitium quippe pecuniis augetur. Et quo quis ſtultior fuerit, eo luxurioſior; quod, quo voluptatum ſuarum rabiem explere poſſit, habeat.

XCIII. Quæ facere non oportet, ea ne cogitato quidem facere.

XCIV. Omnis locus homini cum juſtitia viventi tutus eſt.

XCV. Corvi mortuorum oculos corrumpunt, quando nullus eorum uſus eſt: at adulatores vivorum animos perdunt, & animæ oculos excæcant.

ϛϛ. Πιθήκου ὀργὴν, καὶ κόλακος ἀπειλὴν, ἐν ἴσῳ θετέον.

ϛζ. Ἀποδέχου τοὺς τὰ χρηστὰ συμβουλεύειν ἐθέλοντας, ἀλλὰ μὴ τοὺς κολακεύειν ἑκάστοτε σπεύδοντας. οἱ μὲν γὰρ τὸ συμφέρον ἐν ἀληθείᾳ ὁρῶσιν· οἱ δὲ πρὸς τὰ δοκοῦντα τοῖς κρατοῦσιν ἀφορῶσι, καὶ τῶν σωμάτων τὰς σκιὰς μιμούμενοι, τοῖς παρ᾽ αὐτῶν λεγομένοις συννεύουσι.

ϛη. Οὔτε μάχαιραν ἀμβλεῖαν, οὔτε παῤῥησίαν ἄτακτον ἔχειν δεῖ.

ϛθ. Τὸν νουθετοῦντα δεῖ πρῶτον τῆς τῶν νουθετουμένων αἰδοῦς τε καὶ αἰσχύνης ἐπιμελεῖσθαι. οἱ γὰρ ἀπερυθριάσαντες, ἀδιόρθωτοι.

ϛ. Κρεῖττον τὸ νουθετεῖν τοῦ ὀνειδίζειν. τὸ μὲν γὰρ ἤπιόν τε καὶ φίλον· τὸ δὲ σκληρόν τε καὶ ὑβριστικόν. καὶ τὸ μὲν, διορθοῖ τοὺς ἁμαρτάνοντας· τὸ δὲ, μόνον ἐξελέγχει.

ϛα. Παῖδας μὲν ὄντας ἡμᾶς οἱ γονεῖς παιδαγωγῷ παρέδοσαν, ἐπιβλέποντι πανταχοῦ πρὸς τὸ μὴ βλάπτεσθαι· ἄνδρας δὲ γενομένους ὁ θεὸς

XCVI. Simii iram, & minas adulatoris, eodem loco ponas.

XCVII. Suſcipe illos, qui utilia conſulere volunt; non autem eos qui ubique adulari ſtudent. Illi enim, quod utile, revera vident; hi verò ad ea, quæ potentibus placent, reſpiciunt, corporumque umbras imitantes, omnibus illorum dictis adſentiuntur.

XCVIII. Neque obtuſum gladium, neque immoderatam confidentiam habere oportet.

XCIX. Monitor illud in primis curare debet, ut eorum, qui monendi erunt, pudori conſulat & verecundiæ. Qui enim pudore non adficiuntur, corrigi nequeunt.

C. Præſtat monere quàm convitium facere. Illud enim lenitatis & amicitiæ plenum; hoc verò durum, & contumelioſum. Illud item peccantes corrigit; hoc verò ſolùm redarguit.

CI. Parentes pueros nos pædagogo tradiderant, qui ubique obſervaret, ne quid læderemur: Deus autem jam viros inſitæ con-

παραδίδωσι τῇ ἐμφύτῳ συνειδήσει φυλάττειν. ταύτης οὖν τῆς φυλακῆς μηδαμῶς καταφρονητέον. ἐπεὶ καὶ τῷ θεῷ ἀπάρεστον, καὶ τῷ ἰδίῳ συνειδότι ἐχθροὶ ἐσόμεθα.

ϛβ. Ἀνανεούσθω ὁ περὶ θεοῦ λόγος καθ' ἡμέραν, μᾶλλον ἢ τὰ σιτία.

ϛγ. Συνεχέστερον νόει τὸν θεὸν, ἢ ἀνάπνει.

ϛδ. Ἐὰν ἀεὶ μνημονεύῃς, ὅτι ὃ ἐργάζῃ κατὰ ψυχὴν ἢ σῶμα, θεὸς ἐφέστηκεν ἔφορος, ἐν πάσαις σου ταῖς προσευχαῖς, καὶ ταῖς πράξεσιν, οὐ μὴ ἁμάρτῃς· ἕξεις δὲ τὸν θεὸν σύνοικον.

ϛε. Ὡς ἡδὺ τὴν θάλασσαν ἀπὸ γῆς ὁρᾶν· οὕτως ἡδὺ τῷ σωθέντι μεμνῆσθαι τῶν πόνων.

ϛϛ. Νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· οὐ δύναται δὲ, ὅταν αὐτοὶ βούλωνται πάσχειν. ἐν γὰρ τοῖς πειθομένοις ἐνδείκνυται τὴν ἰδίαν ἀρετήν.

ſcientiæ cuſtodiendos tradit. Hæc igitur cuſtodia nequaquam contemnenda eſt: quoniam & Deo hoc diſpliceret, & conſcientiæ propriæ hoſtes eſſemus.

CII. Sermo de Deo quotidie magis renovetur, quàm ipſi cibi.

CIII. Crebriùs Deum cogitato, quàm reſpirato.

CIV. Si perpetuò memineris, Deum ſpectatorem tibi adeſſe, quidquid agas, ſive anima, ſive corpore, in omnibus tuis & precationibus & actionibus, non peccabis; & Deum cohabitatorem habebis.

CV. Uti jucundum eſt è terra mare ſpectare; ita à periculis liberato jucundum, meminiſſe laborum.

CVI. Legis ſcopus eſt, bene mereri de vita hominum: non poteſt autem, cum ipſi malis adfligi volunt. Solis enim obedientibus virtutem ſuam oſtendit.

ξζ. Ὥσπερ τοῖς νοσοῦσιν ἰατροὶ σωτῆρες· οὕτω καὶ τοῖς ἀδικουμένοις οἱ νόμοι.

ξη. Νόμοι ἀληθέστατοι οἱ δικαιότατοι.

ξθ. Νόμῳ, καὶ ἄρχοντι, καὶ τῷ σοφωτέρῳ εἴκειν, κόσμιον.

ξι. Τὰ παρὰ νόμον γινόμενα, ἀντὶ μὴ γινομένων ἐστί.

ξια. Μηδεὶς φρονίμων τοῦ ἄρχειν ἀλλοτριούσθω. καὶ γὰρ ἀσεβές, τὸ ἀποσπᾶν ἑαυτὸν τῆς τῶν δεομένων εὐχρηστίας· καὶ ἀγεννές, τοῖς φαύλοις παραχωρεῖν. ἀνόητον γάρ, τὸ αἱρεῖσθαι κακῶς ἄρχεσθαι μᾶλλον, ἢ καλῶς ἄρχειν.

ξιβ. Οὐδὲν ἄλλο ἡγεμόνι πρέπει, ἢ τὸ μηδένα ὑπερηφανεῖν, μηδὲ ἁβρύνεσθαι, ἀλλ' ἐξ ἴσου πάντων προΐστασθαι.

ξιγ. Τοὺς υἱοὺς σου σπούδαζε πεπαιδευμένους μᾶλλον, ἢ πλουσίους καταλιπεῖν. κρείττους γάρ εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες, ἢ ὁ τῶν ἀμαθῶν πλοῦτος.

CVII. Uti ægrotantibus servatores sunt medici; sic injuriam passis, leges.

CVIII. Leges verissimæ sunt quæ justissimæ.

CIX. Legi, & principi, & sapientiori cedere, decorum est.

CX. Quæ præter legem fiunt, pro infectis habentur.

CXI. Nemo prudens refugiat magistratu fungi. Est enim impium, abstrahere sese à bono usu eorum, quæ fieri oportet: & ignobile, improbis concedere. Stultum est enim, velle potius malè gubernari, quàm bene gubernare.

CXII. Nihil aliud magis eum qui præest decet, quàm despicere neminem, nec insolescere; sed omnibus ex æquo præesse.

CXIII. Stude ut filios tuos eruditos magis, quàm opulentos relinquas. Præstant enim eruditorum expectationes indoctorum divitiis.

ριδ. Πατρὸς ὕβρεις, ἡδὺ φάρμακον. πλέον γὰρ ἔχει τὸ ὠφελοῦν τοῦ δάκνοντος.

ριε. Τοὺς ἄφρονας ὁ χρόνος· τοὺς δὲ φρονίμους ὁ λόγος, τῆς λύπης ἀπαλλάττει.

ρις. Εὐγνώμων ὁ μὴ λυπούμενος ἐφ' οἷς μὴ ἔχει· ἀλλὰ χαίρων ἐφ' οἷς ἔχει.

ριζ. Ἐπίκτητος ἐρωτηθεὶς, πῶς ἄν τις τὸν ἐχθρὸν λυπήσῃ, ἔφη· ἑαυτὸν παρασκευάζων βέλτιστα πράττειν.

ριη. Τὸν λογισμὸν, ὥς περ ἰατρὸν ἀγαθὸν, ἐπικαλεῖσθαι δεῖ ἐν ἀτυχίᾳ βοηθόν.

ριθ. Εὐτυχίας, ὥς περ μέθης, ἄφρων ἐπὶ πλεῖον ἀπολαύσας, ἀνοητότερος γίνεται.

ρκ. Τῶν εὐτυχούντων ἀνταγωνιστὴς ὁ φθόνος.

ρκα. Ὁ μεμνημένος τί ἐστιν ἄνθρωπος, ἐπ' οὐδενὶ τῶν συμβαινόντων δυσχεραίνει.

ρκβ. Τῆς εὐτυχίας, ὥς περ ὀπώρας, παρούσης ἀπολαύειν δεῖ.

ρκγ. Ἀλόγιστός ἐστιν, ὁ ἐν τοῖς συμβαίνουσι κατὰ φυσικὴν ἀνάγκην ἀχθόμενος.

CXIV. Patris convitium, ſuave eſt remedium. Plus enim juvat quàm mordet.

CXV. Inſipientes tempus; ſapientes autem ratio, mœrore liberat.

CXVI. Sapit qui non triſtatur ob ea quæ non habet; ſed gaudet iis quæ habet.

CXVII. Epictetus interrogatus, quomodo quis hoſti dolorem excitare poſſit; ſi quis, inquiebat, ſe comparet, ut optima agat.

CXVIII. Rationem, tanquam bonum medicum, in infortunio adjutorem invocare oportet.

CXIX. Stultus bonâ fortunâ, tanquam ebrietate, nimium fruens, ſtultior evadit.

CXX. Fortunatorum antagoniſta eſt invidia.

CXXI. Qui meminerit quid ſit homo, nullam rem, quæcunque acciderit, ægre feret.

CXXII. Proſperitate, tanquam autumno, dum adeſt, frui oportet.

CXXIII. Ratione caret, qui quæ naturali neceſſitate accidunt, indignanter fert.

ρκδ. Ἐν πενίᾳ μέν τις διετέλεσεν εὐδαίμων· ὡς ἥκιστα δὲ πλούτῳ, καὶ ἀρχαῖς. τοσοῦτον ὑπεραίρει πενίας ἀγαθὸν, ὥς τ' αἰσχροῦ πλούτου νόμιμος ἀνὴρ οὐδεὶς ἀλλάξαιτ' ἂν πενίαν. εἴγε μὴ τῶν ποτε ἀθηναίων ὁ πλουσιώτατος, ἀμείνων ἦν ἀριστείδου καὶ Σωκράτους, θεμιστοκλῆς ὁ νεοκλέους, ἐν πενίᾳ τῆς ἀρετῆς. ὁ δὲ πλοῦτος ἐκείνου αὐτοῦ, καὶ αὐτὸς ἐξίτηλός τε καὶ ἀνώνυμος. φαύλῳ γὰρ ἅμα τῷ θανάτῳ πάντα συνοίχεται. τὸ δὲ καλὸν, αἰώνιον.

ρκε. Ὅτι τοιαύτη ἡ τοῦ κόσμου φύσις καὶ ἦν, καὶ ἔστι, καὶ ἔσται. καὶ οὐχ οἷόν τε ἄλλως γίγνεσθαι τὰ γιγνόμενα, ἢ ὡς νῦν ἔχει. καὶ ὅτι ταύτης τῆς τροπῆς καὶ μεταβολῆς οὐ μόνον οἱ ἄνθρωποι μετειλήφασιν, καὶ τἄλλα ζῶα τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ θεῖα. καὶ νὴ δι' αὐτὰ τὰ τέσσαρα στοιχεῖα ἄνω καὶ κάτω τρέπεται, καὶ μεταβάλλει. καὶ γῆ τε ὕδωρ γίνεται· καὶ ὕδωρ, ἀήρ. οὗτος δὲ πάλιν εἰς ἕτερα μεταβάλλει. καὶ ὁ αὐτὸς τρόπος τῆς μεταβολῆς ἄνωθεν κάτω.

CXXIV. In paupertate quispiam felix ætatem exegit; rarissime verò in divitiis, & magistratibus. Tantùm excellit paupertatis bonum, ut nemo vir justus paupertatem cum turpibus divitiis commutatam velit: nisi fortè olim Atheniensium ditissimus, Themistocles, Neoclis filius, in egestate virtutis, melior fuit Aristide & Socrate. Opulentia verò ejus & ipsa evanuit, celebrarique desiit. Improbo enim viro unà cum morte omnia aufugiunt; honestum autem est æternum.

CXXV. Talis natura mundi fuit, est, eritque. Nec aliter, quæ fiunt, fieri possunt, quàm ut nunc se habent. Et hujus conversionis, mutationisque, non solùm homines, aliæque in terra animantes, sed & ipsa divina participant. Enimverò ipsa quatuor elementa sursum ac deorsum aguntur, & commutantur, & terra in aquam mutatur; aqua in aërem; hic autem rursus vertitur in alia. Atque idem mutationis modus superne fit deorsum.

ἐὰν πρὸς ταῦτά τις ἐπιχειρῇ τρέπειν τὸν νοῦν, καὶ πείθειν ἑαυτὸν ἑκόντα δέχεσθαι τὰ ἀναγκαῖα, πάνυ μετρίως καὶ μουσικῶς διαβιώσεται τὸν βίον.

ρκϛ. Ὁ τοῖς παροῦσι καὶ δεδομένοις ὑπὸ τῆς τύχης δυσχεραίνων, ἰδιώτης ἐν βίῳ· ὁ δὲ ταῦτα γενναίως φέρων, καὶ εὐλογίστως τὰ ἀπ' αὐτῶν, ἀνὴρ ἀγαθὸς ἄξιος νομίζεσθαι.

ρκζ. Πάντα ὑπακούει τῷ κόσμῳ, καὶ ὑπηρετεῖ, γῆ, καὶ θάλασσα, καὶ ἥλιος, καὶ τὰ λοιπὰ ἄστρα, καὶ τὰ γῆς φυτὰ, καὶ ζῶα. ὑπακούει δὲ αὐτῷ καὶ τὸ ἡμέτερον σῶμα, καὶ νοσοῦν, καὶ ὑγιαῖνον, ὅταν ἐκεῖνος θέλῃ, καὶ νεάζον, καὶ γηρῶν, καὶ τὰς ἄλλας διερχόμενον μεταβολάς. οὐκοῦν εὔλογον, καὶ ὃ ἐφ' ἡμῖν ἐστι, τουτέστι, τὴν κρίσιν, μὴ ἀντιτείνειν μόνην πρὸς αὐτόν. καὶ γὰρ ἰσχυρός ἐστι, καὶ κρείσσων, καὶ ἄμεινον ὑπὲρ ἡμῶν βεβούλευται μετὰ τῶν ὅλων, καὶ ἡμᾶς συνδιοικῶν. πρὸς δὲ τούτοις καὶ ἡ ἀντίπραξις μετὰ τοῦ ἀλόγου, καὶ πλέον οὐδὲν ποιοῦσα, πλὴν τὸ διακενῆς σπᾶσθαι, καὶ περιπίπτειν ὀδύναις, καὶ λύπαις, ποιεῖ.

Si quis ad ista animum adpellere conetur, ac sibi persuadere, ut, quæ necessaria sunt, sponte suscipiat, prorsus moderate concinneque hic vitam transiget.

CXXVI. Rudis & imperitus ille in vita est, qui res præsentes, & à fortuna datas indignanter fert: qui verò easdem generosè fert, & bona cum ratione iis, quæ ab ipsa dantur, utitur, vir bonus haberi meretur.

CXXVII. Omnia obediunt mundo, & inserviunt; terra, & mare, & sol, reliquaque sidera, & terræ stirpes, & animalia. Sed & nostrum corpus ei obedit, & ægrotum, & sanum, cum ille voluerit, juvenile item & senile, aliasque mutationes transiens. Quamobrem rationi consentaneum, ut id quoque quod in nostra est potestate, hoc est, judicium, non solum ei refragetur. Etenim validus est, & præstantior, & melius nobis consulit, cum universitate rerum nos quoque simul gubernans. Ad hæc repugnatio quæ absque ratione fit, præterquam quod nihil aliud efficit, quàm ut in vanum torqueamur, in dolores etiam & mœrores incidere facit.

ρκη. Ἀλλὰ γίνεταί τινα ἀηδῆ καὶ χαλεπὰ ἐν τῷ βίῳ. καὶ τί οἴει, ὅτι ὁ ἡρακλῆς ἂν ἀπέβη τοιοῦτος, εἰ μὴ λέων οὗτος ἐγένετο, καὶ ὕδρα, καὶ ἔλαφος, καὶ σῦς, καὶ ἄδικοί τινες ἄνθρωποι, καὶ θηριώδεις; οὓς ἐκεῖνος ἐξήλαυνε, καὶ ἐκάθαιρε; καὶ σὺ τούτων αἰσθανόμενος, βλέψον εἰς τὰς δυνάμεις, καὶ ἀφορμὰς, δι᾽ ὧν κοσμήσεις σαυτόν. οὔ. ἀλλὰ κάθησθε, τὰ μὲν, μὴ συμβῇ, τρέμοντες· περὶ δὲ τῶν συμβαινόντων, ὀδυρόμενοι. εἶτα τοῖς θεοῖς ἐγκαλεῖτε. τί γάρ ἐστιν ἄλλο ἀκόλουθον τῇ τοιαύτῃ ἀγεννείᾳ, ἢ ἀσέβεια; καί τοι ὅγε θεὸς οὐ μόνον ἔδωκεν ἡμῖν τὰς δυνάμεις ταύτας, καθ᾽ ἃς οἴσομεν πᾶν τὸ ἀποβαῖνον, μὴ ταπεινούμενοι, μηδὲ συγκλώμενοι· ἀλλ᾽ ὃ ἦν ἀγαθοῦ βασιλέως, καὶ ταῖς ἀληθείαις πατρὸς, ἀκώλυτον τοῦτο ἔδωκε, καὶ ὅλον αὐτὸ ἐφ᾽ ἡμῖν ἐποίησε.

ΤΕΛΟΣ.

CXXVIII. Sed accidunt ingrata quædam, & molesta in vita. Et quid censes, Herculem evasurum fuisse talem, nisi leo ille fuisset, & hydra, & cervus, & aper; & injusti quidam, immanesque homines, quos ipse expulit, & interfecit? Atque hæc tute animadvertens, respice ad facultates & occasiones, quibus teipsum ornes. Hoc autem minime facitis; sed sedetis, alia, ne contingant metuentes; alia, quæ jam contigerunt, deplorantes, deinde deos incusatis. Quid enim aliud ignobilem hujusmodi animum sequetur, quàm impietas? Atqui Deus non solùm nobis dedit istas facultates, quibus quemlibet eventum sustineremus, non dejecto, neque confracto animo; sed, quod boni regis erat, & revera patris, liberum id dedit, & totum istud nostræ voluntatis arbitrio subjecit.

FINIS.

ῬΗΓΙ'ΝΟΥ.

Καθάπερ δὲ τὸ τοῦ ἡλίου φῶς οὐκ ἔστι θεάσασθαι ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ ὄψει· οὕτω καὶ ἔτι μᾶλλον τὴν ἀλήθειαν οὐκ ἔστιν ἰδεῖν ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ διανοίᾳ.

RHEGINI.

Quemadmodum ſolis lumen imbecillo ac debili viſu adſpici nequit: ſic quoque multò magis veritatem imbecilla ac invalida mente inſpicere non datur.

ΚΕ΄ΒΗΤΟΣ ΘΗΒΑΙ΄ΟΥ
ΠΙ΄ΝΑΞ.

CEBETIS THEBANI
TABULA.

Græcè et Latinè.

ΚΕΒΗΤΟΣ ΘΗΒΑΙΟΥ ΠΙΝΑΞ.



Ἐτυγχάνομεν περιπατοῦντες ἐν τῷ τοῦ κρόνου ἱερῷ, ἐν ᾧ πολλὰ μὲν καὶ ἄλλα ἀναθήματα ἐθεωροῦμεν· ἀνέκειτο δὲ καὶ πίναξ τις ἔμπροσθε τοῦ νεὼ, ἐν ᾧ ἦν γραφή τις ξένη, καὶ μύθους ἔχουσα ἰδίους, οὓς οὐκ ἠδυνάμεθα συμβαλεῖν, τίνες, καὶ πόθεν ἦσαν. οὔτε γὰρ πόλις ἐδόκει ἡμῖν εἶναι τὸ γεγραμμένον, οὔτε στρατόπεδον· ἀλλὰ περίβολος ἦν, ἐν αὑτῷ ἔχων ἑτέρους περιβόλους δύο· τὸν μὲν, μείζω· τὸν δὲ, ἐλάττω. ἦν δὲ καὶ πύλη ἐπὶ τοῦ πρώτου περιβόλου· πρὸς δὲ τῇ πύλῃ ὄχλος ἐδόκει ἡμῖν πολὺς ἐφεστάναι. ἔνδον δὲ τοῦ περιβόλου, πλῆθός τι γυναικῶν ἑωρᾶτο. ἐπὶ δὲ τῆς εἰσόδου τοῦ πρώτου πυλῶνος καὶ περιβόλου, γέρων τις ἑστὼς, ἔμφασιν ἐποίει, ὡς προστάττων τι τῷ εἰσιόντι ὄχλῳ. ἀπορούντων δὲ ἡμῶν περὶ τῆς μυθολογίας πρὸς ἀλλήλους πολὺν χρόνον,

CEBETIS THEBANI
TABULA.

Ortè in Saturni ſacello deambulantes, cùm alia multa in eo donaria ſpectabamus; tùm tabulam quandam paulò altius ante templum poſitam, in qua pictura quædam erat peregrina, et quæ peculiares fabulas contineret; cujusmodi autem, et unde, iſtæ eſſent, conjicere non poteramus. Neque enim, quod pictum erat, urbs nobis eſſe videbatur, neque caſtra; ſed ſeptum erat, alia duo intra ſe ſepta continens; majus, alterum; alterum, minus. Porta etiam erat in primo ſepto; atque ad hanc portam multa turba adſtare videbatur. Intra ſeptum autem multitudo quædam mulierum conſpiciebatur. Cæterum in primæ portæ, ac ſepti, aditu, ſenex quidam ſtabat, qui indicium faciebat, quaſi ingredienti turbæ aliquid præciperet. Cùm autem de illius fabulæ explicatione diu inter nos ambigeremus,

πρεσβύτης τὶς παρεστὼς· οὐδὲν δεινὸν πάσχετε, ὦ ξένοι, ἔφη, ἀποροῦντες περὶ τῆς γραφῆς ταύτης. οὐ γὰρ τῶν ἐπιχωρείων πολλοὶ ἴσασι, τί ποτε αὕτη ἡ μυθολογία δύναται. οὐδὲ γάρ ἐστι πολιτικὸν ἀνάθημα, ἀλλὰ ξένος τὶς πάλαι ποτὲ ἀφίκετο δεῦρο, ἀνὴρ ἔμφρων, καὶ δεινὸς περὶ σοφίαν, λόγῳ δὲ καὶ ἔργῳ πυθαγόρειόν τινα καὶ παρμενίδειον ἐζηλωκὼς βίον, ὃς τό, τε ἱερὸν τοῦτο, καὶ τὴν γραφὴν ἀνέθηκε τῷ κρόνῳ. πότερον οὖν, ἔφην ἐγὼ, καὶ αὐτὸν τὸν ἄνδρα γιγνώσκεις ἑωρακώς; καὶ ἐθαύμασά γε, ἔφη, αὐτὸν πολὺν χρόνον. νεώτερος γὰρ ὢν, πολλὰ καὶ σπουδαῖα διελέγετο· καὶ περὶ ταύτης δὲ τῆς μυθολογίας πολλάκις αὐτοῦ ἠκηκόειν διεξιόντος. πρὸς διὸς τοίνυν, ἔφην ἐγὼ, εἰ μή τίς σοι μεγάλη ἀσχολία τυγχάνει οὖσα, διήγησαι ἡμῖν. πάνυ γὰρ ἐπιθυμοῦμεν ἀκοῦσαι, τί ποτέ ἐστιν ὁ μῦθος. οὐδεὶς φθόνος, ὦ ξένοι, ἔφη. ἀλλὰ τοῦτο δεῖ ὑμᾶς ἀκοῦσαι, ὅτι ἐπικίνδυνόν τι ἔχει ἡ ἐξήγησις. οἷόν τι; ἔφην ἐγώ. ὅτι εἰ μὲν προσέξετε, ἔφη, καὶ

ſenex quidam adſtans: Nihil miri, inquit, ô hoſpites, vobis accidit, quod hujus picturæ ſignificationem non adſequimini. Nam et ex indigenis multi ignorant, quam hujus picturæ explicatio vim habeat. Nec enim civitatis eſt donarium; ſed hoſpes aliquis olim huc advenerat, vir cordatus, magnâque ſapientiâ præditus, ſermone autem et opere Pythagoréam aliquam, et Parmenidéam vitam æmulatus, qui et templum hoc, et picturam Saturno dedicavit. Num igitur, inquam ego, et ipſum virum, utpote à te viſum, nôſti? Etiam longo, inquit, tempore eum fui admiratus. Quamvis enim junior eſſet, de multis et eximiis rebus diſputabat. et de hujus quoque fabulæ ſignificatione ſæpe ipſum audivi diſſerentem. Per Jovem igitur, inquam ego, niſi magnum aliquod tibi negotium eſt, fabulam nobis explica: audire enim admodum cupimus, quidnam hoc fabulæ ſit. Nullâ invidiâ, ô hoſpites, inquit, tangor: ſed hoc vos audire oportet, periculi aliquid habere explicationem. Cujusmodi? inquam ego. Quoniam, inquit, ſi animadverteritis quæ dicuntur, et

συνήσετε τὰ λεγόμενα, φρόνιμοι καὶ εὐδαίμονες ἔσεσθε· εἰ δὲ μὴ, ἄφρονες, καὶ κακοδαίμονες, καὶ πονηροὶ, καὶ ἀμαθεῖς γενόμενοι, κακῶς βιώσεσθε. ἔστι γὰρ ἡ ἐξήγησις ἐοικυῖα τῷ τῆς σφιγγὸς αἰνίγματι, ὃ ἐκείνη προὐβάλλετο τοῖς ἀνθρώποις. εἰ μὲν οὖν αὐτὸ συνίῃ τις, ἐσώζετο· εἰ δὲ μὴ συνίῃ, ἀπώλλυτο ὑπὸ τῆς σφιγγός. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἐξηγήσεως ταύτης. ἡ γὰρ ἀφροσύνη τοῖς ἀνθρώποις σφίγξ ἐστιν· αἰνίττεται δὲ καὶ τάδε, τί ἀγαθὸν, τί κακὸν, τί οὔτε ἀγαθὸν, οὔτε κακόν ἐστιν ἐν τῷ βίῳ. ταῦτ' οὖν ἐὰν μή τις συνίῃ, ἀπόλλυται ὑπ' αὐτῆς οὐκ εἰσάπαξ, ὥσπερ ὁ ὑπὸ τῆς σφιγγὸς καταβρωθεὶς ἀπέθνησκεν, ἀλλὰ κατὰ μικρὸν ἐν ὅλῳ τῷ βίῳ καταφθείρεται, καθάπερ οἱ ἐπὶ τιμωρίᾳ παραδιδόμενοι. ἂν δέ τις γνῷ, ἀνάπαλιν ἡ μὲν ἀφροσύνη ἀπόλλυται, αὐτὸς δὲ σώζεται, καὶ μακάριος, καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ. ὑμεῖς οὖν προσέχετε, καὶ μὴ παρακούετε. ὦ ἡράκλεις, ὡς εἰς μεγάλην τινὰ ἐπιθυμίαν ἐμβέβληκας ἡμᾶς,

intellexeritis, prudentes, et beati eritis: ſin minus, inſipientes, et infelices, ac improbi, indoctique, male vivetis. Quippe Sphingis ænigmati hæc explicatio ſimilis eſt, quod illa hominibus proponebat: illud enim ſi quis intelligeret, ſalvus evadebat; ſi non intelligeret, à Sphinge necabatur. Similiter in hac explicatione ſe res habet. Amentia enim hominibus Sphinx eſt: obſcurè autem et hæc innuit, quid bonum in vita ſit, quid malum; quid nec bonum, nec malum. Quæ quidem ſi quis non intelligat, ab ea perimitur non ſemel, uti à Sphinge devoratus moriebatur; ſed paulatim in tota vita abſumitur, ſicut illi, qui lento ſupplicio excruciandi traduntur. At ſi quis iſta cognôrit, vice verſâ Amentia perit, ipſe autem ſalvus evadit, et beatus ac felix omnem vitam tranſigit. Vos igitur attendite, nec obiter auſcultate. Proh Hercules, in quantum nos deſiderium conjeciſti,

εἰ ταῦθ' οὕτως ἔχει. ἀλλ' ἔστιν, ἔφη, οὕτως ἔχοντα. οὐκ ἂν φθάνοις τοίνυν διηγούμενος, ὡς ἡμῶν προσεξόντων οὐ παρέργως, ἐπείπερ καὶ τὸ ἐπιτίμιον τοιοῦτόν ἐστιν. ἀναλαβὼν οὖν ῥάβδον τινὰ, καὶ ἐκτείνας πρὸς τὴν γραφὴν, ὁρᾶτε, ἔφη, τὸν περίβολον τοῦτον; ὁρῶμεν. τοῦτο πρῶτον δεῖ εἰδέναι ὑμᾶς, ὅτι καλεῖται ὁ τόπος οὗτος βίος. καὶ ὁ ὄχλος ὁ πολὺς, ὁ παρὰ τὴν πύλην ἐφεστὼς, οἱ μέλλοντες εἰσπορεύεσθαι εἰς τὸν βίον, οὗτοί εἰσιν. ὁ δὲ γέρων, ὁ ἄνω ἑστηκὼς, ἔχων χάρτην τινὰ ἐν τῇ χειρὶ, καὶ τῇ ἑτέρᾳ, ὥσπερ δεικνύων τι, οὗτος δαίμων καλεῖται. προστάττει δὲ τοῖς εἰσπορευομένοις, τί δεῖ αὐτοὺς ποιεῖν, ὡς ἂν εἰσέλθωσιν εἰς τὸν βίον· καὶ δεικνύει, ποίαν ὁδὸν αὐτοὺς δεῖ βαδίζειν, εἰ σώζεσθαι μέλλουσιν ἐν τῷ βίῳ. ποίαν οὖν ὁδὸν κελεύει βαδίζειν, ἢ πῶς; ἔφην ἐγώ. ὁρᾷς, εἶπε, παρὰ τὴν πύλην, θρόνον τινὰ κείμενον κατὰ τὸν τόπον τοῦτον, καθ' ὃν εἰσπορεύεται ὁ ὄχλος, ἐφ' οὗ κάθηται γυνὴ πεπλασμένη τῷ εἴδει, καὶ πιθανὴ φαι-

ſiquidem hæc ita ſe habent. Omnino verò, inquit, hæc ita ſe habent. Quin igitur nobis iſta ſtatim explicas, non ſupinè auſcultaturis, ſiquidem et pœna tanta propoſita eſt. Ille igitur arreptâ virgâ quâdam, eâque ad picturam extenſâ; Videtis, inquit, hocce ſeptum? Videmus. Quod primum vos ſcire oportet, hic locus Vità adpellatur: ac multa illa turba, quæ portæ adſtat, iſti ſunt, qui in vitam ſunt ingreſſuri. Senex autem, qui ſtat ſuperiùs, chartam aliquam una manu tenens, et alterâ quaſi aliquid oſtendens; hic Genius vocatur. Præcipit autem ingredientibus, quid eos facere oporteat, ubi in vitam ingreſſi fuerint: et, quam viam ipſos oporteat inſiſtere, ſi ſalvi in vita eſſe velint, oſtendit. Quam igitur, inquam ego, viam inſiſtere jubet, aut quomodo? Viden', inquit, ad portam ſolium quoddam poſitum hoc loco, ubi turba ingreditur, cui mulier fucatâ formâ inſidet, quæ perſuadendi facultate prædita videa-

νομένη, καὶ ἐν τῇ χειρὶ ἔχουσα ποτήριόν τι; ὁ-
ρῶ· ἀλλὰ τίς ἐστιν αὕτη; ἔφην. ἀπάτη καλεῖ-
ται, φησιν, ἡ πάντας τοὺς ἀνθρώπους πλανῶσα.
εἶτα, τί πράττει αὕτη; τοὺς εἰσπορευομένους εἰς
τὸν βίον ποτίζει τῇ ἑαυτῆς δυνάμει. τοῦτο δὲ τί
ἐστι τὸ ποτόν; πλάνη, ἔφη, καὶ ἄγνοια. εἶτα
τί; πιόντες τοῦτο, πορεύονται εἰς τὸν βίον. πό-
τερον οὖν πάντες πίνουσι τὸν πλάνον, ἢ οὔ; πάν-
τες πίνουσιν, ἔφη· ἀλλ᾽ οἱ μὲν πλεῖον· οἱ δὲ ἧττον.
ἔτι δὲ οὐχ ὁρᾷς ἔνδον τῆς πύλης πλῆθός τι γυναι-
κῶν ἑταιρῶν, παντοδαπὰς μορφὰς ἐχουσῶν; ὁ-
ρῶ. αὗται τοίνυν δόξαι, καὶ ἐπιθυμίαι, καὶ ἡ-
δοναὶ, καλοῦνται. ὅταν οὖν εἰσπορεύηται ὁ ὄχλος,
ἀναπηδῶσιν αὗται, καὶ συμπλέκονται πρὸς ἕκα-
στον· εἶτα ἀπάγουσι. ποῖ δὲ ἀπάγουσιν αὐ-
τούς; αἱ μὲν, εἰς τὸ σώζεσθαι, ἔφη· αἱ δὲ, εἰς
τὸ ἀπόλλυσθαι, διὰ τὴν ἀπάτην. ὦ δαιμόνιε,
ὡς χαλεπὸν τὸ πόμα λέγεις; καὶ πᾶσαί γε,
ἔφη, ἐπαγγέλλονται, ὡς ἐπὶ τὰ βέλτιστα ἄξου-
σαι, καὶ εἰς βίον εὐδαίμονα, καὶ λυσιτελῆ· οἱ δὲ

tur, manu poculum quoddam tenens? Video, inquam; sed quænam ea est? Seductio, inquit, vocatur, quæ omnes homines in errorem inducit. Porrò, quid hæc agit? In vitam ingredientibus vim suam propinat. Sed potio illa quænam est? Error, inquit, et Inscitia. Quid præterea? Hoc poculo exhausto in vitam eunt. Num verò omnes errorem bibunt, annon? Omnes, inquit, bibunt: sed plus alii; alii minus. Sed viden' præterea intra portam mulierum meretricum multitudinem quandam, omnigenas formas habentium? Video. Hæ ergo, Opiniones, et Cupiditates, et Voluptates adpellantur. Cùm igitur turba ingreditur, prosiliunt illæ, et ad singulos se adplicant; deinde eos abducunt. Quò verò eos abducunt? Aliæ, inquit, ut serventur; aliæ, ut pereant, propter seductionem. O admirande, quàm acerbam potionem istam dicis? Atqui omnes, inquit, pollicentur, ad optima se quemque perducturas, et ad vitam beatam, ac commodam: illi autem

διὰ τὴν ἄγνοιαν, καὶ τὸν πλάνον, ὃν πεπώκασι παρὰ τῆς ἀπάτης, οὐχ εὑρίσκουσι, ποία ἐστὶν ἡ ἀληθινὴ ὁδὸς, ἡ ἐν τῷ βίῳ· ἀλλὰ πλανῶνται εἰκῆ, ὥσπερ ὁρᾷς, καὶ τοὺς πρότερον εἰσπορευομένους, ὡς περιάγονται, ὅπη ἂν αὗται δεικνύωσιν; ὁρῶ τοῦτο, ἔφην. ἡ δὲ γυνὴ ἐκείνη τίς ἐστιν, ἡ ὥσπερ τυφλὴ, καὶ μαινομένη τὶς εἶναι δοκοῦσα, καὶ ἑστηκυῖα ἐπὶ λίθου τινὸς στρογγύλου; καλεῖται μὲν, ἔφη, τύχη. ἔστι δὲ οὐ μόνον τυφλὴ, ἀλλὰ καὶ μαινομένη, καὶ κωφή. αὕτη οὖν τί ἔργον ἔχει; περιπορεύεται πανταχοῦ, ἔφη, καὶ παρ' ὧν μὲν ἁρπάζει τὰ ὑπάρχοντα, καὶ ἑτέροις δίδωσι· παρὰ δὲ τῶν αὐτῶν πάλιν ἀφαιρεῖται παραχρῆμα, ἃ δέδωκε, καὶ ἄλλοις δίδωσιν εἰκῆ καὶ ἀβεβαίως. διὸ καὶ τὸ σημεῖον καλῶς μηνύει τὴν φύσιν αὐτῆς. ποῖον τοῦτο; ἔφην ἐγώ. ὅτι ἐπὶ στρογγύλου λίθου ἕστηκεν. εἶτα, τί τοῦτο σημαίνει; ὅτι οὐκ ἀσφαλὴς, οὐδὲ βεβαία ἐστὶν ἡ παρ' αὐτῆς δόσις. ἐκπλώσεις γὰρ μεγάλαι, καὶ σκληραὶ γίγνονται, ὅταν τις αὐτῇ πιστεύσῃ. ὁ δὲ ὄχλος,

ob inſcitiam, et errorem, quem à Seductione hauſerunt, non inveniunt, quæ ſit vera illa via, quam in vita inſiſtere oporteat; ſed temere, uti oves, errant. Viden' quoque prius ingreſſos, ut circumagantur, quô iſtæ monſtrent? Id, inquam, video. At mulier illa quænam eſt, quæ quaſi cæca, et inſana quædam eſſe videtur, rotundo alicui lapidi inſiſtens? Adpellatur, inquit, Fortuna: eſt autem non ſolùm cæca, ſed inſana etiam, ac ſurda. Quodnam igitur ejus munus eſt? Paſſim, inquit, vagatur, et aliis quidem facultates eripit, quæ aliis largitur; ſed ab iisdem iterum iſta, quæ dederat, ſtatim aufert, aliisque temere ac inconſtanter donat. Quare et ſignum iſtud pulchrè ingenium ejus indicat. Ecquod illud ſignum? inquam ego. Quod rotundo lapidi inſiſtit. Cæterùm quid hoc ſignificat? Munus ab ea profectum non eſſe certum, firmumque. Magni enim, durique caſus ſuccedunt, ſi quis illi credat. At illa multa turba,

ὁ πολὺς οὗτος, ὁ περὶ αὐτὴν ἑστηκὼς, τί βούλεται, καὶ τίνες καλοῦνται; καλοῦνται καὶ οὗτοι ἀπροβούλευτοι. αἰτοῦσι δὲ ἕκαστος αὐτῶν, ἃ ῥίπτει. πῶς οὖν οὐχ ὁμοίαν ἔχουσι τὴν μορφὴν, ἀλλ' οἱ μὲν αὐτῶν δοκοῦσι χαίρειν· οἱ δὲ ἀθυμοῦσιν, ἐκτετακότες τὰς χεῖρας; οἱ μὲν δοκοῦντες, ἔφη, χαίρειν καὶ γελᾶν αὐτῶν, οἱ εἰληφότες τι παρὰ τῆς τύχης εἰσίν· οὗτοι δὲ καὶ ἀγαθὴν τύχην αὐτὴν καλοῦσιν· οἱ δὲ δοκοῦντες κλαίειν, καὶ τὰς χεῖρας ἐκτετακότες, εἰσὶ παρ' ὧν ἀφείλετο, ἃ δέδωκε πρότερον αὐτοῖς· οὗτοι πάλιν κακὴν τύχην αὐτὴν καλοῦσι. τίνα οὖν ἔστιν, ἃ δίδωσιν αὐτοῖς, ὅτι οὕτως οἱ μὲν λαμβάνοντες, χαίρουσιν· οἱ δὲ ἀποβάλλοντες, κλαίουσι; ταῦτα, ἔφη, ἃ παρὰ τοῖς πολλοῖς ἀνθρώποις δοκεῖ εἶναι ἀγαθά. ταῦτα οὖν τίνα ἐστί; πλοῦτος δηλαδὴ, καὶ δόξα, καὶ εὐγένεια, καὶ τέκνα, καὶ τυραννίδες, καὶ βασιλεῖαι, καὶ τἄλλα, ὅσα τούτοις παραπλήσια. ταῦτα οὖν πῶς οὐκ ἔστιν ἀγαθά; περὶ μὲν τούτων, ἔφη, καὶ αὖθις διαλεξόμεθα. νῦν

quæ Fortunam circumstat, quid vult, et quo nomine adpellantur? Etiam hi adpellantur Inconsulti. Petunt autem eorum quisque, quæ illa projicit. Quî igitur non simili vultu sunt; sed eorum alii gaudere videntur; alii animum dejiciunt, tensis manibus? Qui ex his, inquit, gaudere ac ridere videntur, sunt, qui aliquid à Fortuna acceperunt; qui quoque Bonam Fortunam eam nominant: at qui plorare videntur, ac manus tendisse, sunt, à quibus illa abstulit, quæ ipsis ante dederat; qui contrà Malam Fortunam ipsam adpellant. Quæ igitur ea sunt, quæ ipsis donat; quòd, qui accipiunt, ita lætentur; at qui perdunt, plorent? Illa, inquit, quæ plerisque hominibus bona esse videntur. Quænam verò illa sunt? Divitiæ scilicet, et gloria, ac nobilitas: insuper liberi, et imperia, ac regna, aliaque, quæ his adsimilia. Hæc igitur quomodo non sunt bona? De his quidem, inquit, et posthac disputabimus. nunc

δὲ περὶ τὴν μυθολογίαν γενώμεθα. ἔςω οὕτως. ὁρᾷς οὖν, ὡς ἂν παρέλθοις τὴν πύλην ταύτην, ἀνώτερον ἄλλον περίβολον, καὶ γυναῖκας ἔξω τοῦ περιβόλου ἑςηκυίας, κεκοσμημένας ὥσπερ ἑταῖραι εἰώθασι; καὶ μάλα. αὗται τοίνυν, ἡ μὲν ἀκρασία καλεῖται· ἡ δὲ, ἀσωτία· ἡ δὲ, ἀπληςία· ἡ δὲ, κολακεία. τί οὖν ὧδε ἑςήκασιν αὗται; παρατηρεῦσιν, ἔφη, τοὺς εἰληφότας τι παρὰ τῆς τύχης. εἶτα τί; ἀναπηδῶσι, καὶ συμπλέκονται αὐτοῖς, καὶ κολακεύουσι, καὶ ἀξιοῦσι παρ᾽ αὐταῖς μένειν, λέγουσαι, ὅτι βίον ἕξουσιν ἡδὺν, καὶ ἄπονον, καὶ κακοπάθειαν ἔχοντα οὐδεμίαν. ἐὰν οὖν τις πεισθῇ ὑπ᾽ αὐτῶν, εἰς τὴν ἡδυπάθειαν, μέχρι μέν τινος ἡδεῖα δοκεῖ εἶναι ἡ διατριβὴ, ἕως ἂν γαργαλίζῃ τὸν ἄνθρωπον· εἶτ᾽ οὐκ ἔστιν. ὅταν γὰρ ἀνανήψῃ, αἰσθάνεται, ὅτι οὐκ ἤσθιεν, ἀλλ᾽ ὑπ᾽ αὐτῆς κατησθίετο, καὶ ὑβρίζετο. διὸ καὶ, ὅταν ἀναλώσῃ πάντα, ὅσα ἔλαβε παρὰ τῆς τύχης, ἀναγκάζεται ταύταις ταῖς γυναιξὶ δουλεύειν, καὶ πάνθ᾽ ὑπομένειν, καὶ ἀσχημονεῖν,

circa fabulæ enarrationem verſemur. Eſto ita. Viden' igitur, ubi hanc portam præterieris, ſuperius aliud ſeptum, et mulieres extra ſeptum ſtantes, ornatas, uti meretrices ſolent. Admodum, inquam. Harum igitur alia Incontinentia vocatur; alia, Luxuria; alia, Inexplebilitas; alia, Adulatio. Quid ergò hîc iſtæ adſtant? Obſervant, inquit, eos qui à Fortuna quippiam acceperunt. Quid deinde? Exiliunt, et ad illos ſe adplicant, iiſque adulantur, et petunt, ut apud ſe maneant, dicentes; vitam jucundam, labore ac adflictatione vacuam acturos. Quod ſi quis igitur ad perfruendas voluptates perſuadeatur, aliquamdiu jucunda videtur eſſe ea conſuetudo, quamdiu hominem titillaverit: poſtea ſecus adparet. Ubi enim evigilaverit, ſe non comediſſe, ſed potius ab ea comeſum fuiſſe, et contumeliis adfectum, ſentit. Quare etiam, cum omnia, quæ à Fortuna acceperat, inſumſerit, his mulieribus ſervire cogitur, omniaque perpeti, et indecorè ſe gerere,

καὶ ποιεῖν ἕνεκεν τούτων ὅσα ἐστὶ βλαβερά· οἷον, ἀποστερεῖν, ἱεροσυλεῖν, ἐπιορκεῖν, προδιδόναι, λῄζεσθαι, καὶ πάνθ' ὅσα τούτοις παραπλήσια. ὅταν οὖν πάντα αὐτοῖς ἀπολείπῃ, παραδίδονται τῇ τιμωρίᾳ. ποία δέ ἐστιν αὕτη; ὁρᾷς ὀπίσω τι αὐτῶν, ἔφη, ὥσπερ θύριον μικρὸν, καὶ τόπον στενόν τινα, καὶ σκοτεινόν; οὐκοῦν καὶ γυναῖκες αἰσχραὶ, καὶ ῥυπαραὶ, καὶ ῥάκη ἠμφιεσμέναι δοκοῦσι συνεῖναι; καὶ μάλα. αὗται τοίνυν, ἔφη, ἡ μὲν, τὴν μάστιγα ἔχουσα, καλεῖται τιμωρία· ἡ δὲ, τὴν κεφαλὴν ἐν τοῖς γόνασιν ἔχουσα, λύπη· ἡ δὲ, τὰς τρίχας τίλλουσα ἑαυτῆς, ὀδύνη. ὁ δ' ἄλλος οὗτος, ὁ παρεστηκὼς αὐταῖς, δυσειδής τις καὶ λεπτὸς, καὶ γυμνός· καὶ μετὰ ταῦτά τις ὁμοία αὐτῷ, αἰσχρὰ καὶ λεπτὴ, τίς ἐστιν; ὁ μὲν, ὀδυρμὸς καλεῖται, ἔφη· ἡ δὲ, ἀδελφὴ αὐτοῦ, ἀθυμία. τούτοις οὖν παραδίδοται, καὶ μετὰ τούτων συμβιοῖ τιμωρούμενος. εἶτα πάλιν ἐνταῦθεν εἰς ἕτερον οἶκον ῥίπτεται, εἰς τὴν κακοδαιμονίαν, καὶ ὧδε τὸν λοιπὸν βίον καταστρέφει, ἐν πάσῃ κακοδαιμονίᾳ,

et harum gratiâ flagitiosa perpetrare: ut, defraudare, sacrilegium facere, pejerare, prodere, prædas agere, et quæcunque his adfinia sunt. Quando autem ipsis omnia defecerint, traduntur Ultioni. Et quænam hæc est? Viden' pone illas paullùm, inquit, quasi ostiolum exiguum, et locum quendam angustum, ac caliginosum. Video. Ergóne et mulieres adesse videntur fœdæ, et sordidæ, et laceris vestibus indutæ? Ita sanè. Harum igitur, inquit, illa quæ flagellum manu tenet, vocatur Ultio; ista, quæ caput genibus imposuit, Mœstitia; hæc, quæ capillos sibi evellit, Anxietas. Sed alter ille, qui mulieribus adstat, deformis quidam, et macer, ac nudus; et pone illum quædam ipsi similis, turpis ac gracilis; quisnam est? Ille, inquit, Ploratus vocatur; hæc autem, quæ ejus soror, Exanimatio. His itaque traditur, et cum his, pœnas dans, vitam agit. Deinde rursus hinc in aliam domum projicitur, in Miseriam, atque hîc reliquum vitæ exigit, in omni miseria,

ἂν μὴ μετάνοια αὐτῷ ἀπὸ τῆς τύχης συναντήσῃ. εἶτα τί γίνεται; ἐὰν ἡ μετάνοια αὐτῷ συναντήσῃ, ἐξαιρεῖ αὐτὸν ἐκ τῶν κακῶν, καὶ συνίστησιν αὐτῷ ἑτέραν δόξαν, καὶ ἐπιθυμίαν, τὴν εἰς τὴν ἀληθινὴν παιδείαν ἄγουσαν· ἅμα δὲ καὶ τὴν εἰς τὴν ψευδοπαιδείαν καλουμένην. εἶτα τί γίνεται; ἐὰν μέν, φησι, τὴν δόξαν ταύτην προσδέξηται, τὴν ἄγουσαν αὐτὸν εἰς τὴν ἀληθινὴν παιδείαν, καθαρθεὶς ὑπ᾽ αὐτῆς, σώζεται, καὶ μακάριος, καὶ εὐδαίμων γίνεται ἐν παντὶ τῷ βίῳ· εἰ δὲ μή, πάλιν πλανᾶται ὑπὸ τῆς ψευδοπαιδείας. ὦ ἡράκλεις, ὡς μέγας ὁ κίνδυνος ἄλλος οὗτος. ἡ δὲ ψευδοπαιδεία, ποία ἐστίν; ἔφην ἐγώ. οὐχ ὁρᾷς τὸν ἕτερον περίβολον ἐκεῖνον; καὶ μάλα, ἔφην ἐγώ. οὐκοῦν ἔξω τοῦ περιβόλου παρὰ τὴν εἴσοδον, γυνή τις ἕστηκεν, ἣ δοκεῖ πάνυ καθαρὰ, καὶ εὔτακτος εἶναι; καὶ μάλα. ταύτην τοίνυν οἱ πολλοὶ, καὶ εἰκαῖοι τῶν ἀνθρώπων, παιδείαν καλοῦσιν. οὐκ ἔστι δέ· ἀλλὰ ψευδοπαιδεία, ἔφη. οἱ μέντοι σωζόμενοι,

nisi Pœnitentia ipsi forte fortuna occurrerit. Quid deinde fit? Si Pœnitentia ipsi occurrat, ex iis malis ipsum eripit, aliamque ipsi opinionem commendat, et cupiditatem, quæ ad Veram Disciplinam ducit: sed simul quoque eam commendat opinionem, quæ ducit ad Falsam, quæ vocatur, Disciplinam. Quid tum fit? Siquidem, inquit, hanc opinionem amplectatur, quæ ad Veram Disciplinam ipsum perducit, ab ea purgatus, servatur, et beatus, ac felix in omni vita existit: sin minus, iterum à Falsa Disciplina seducitur. Proh Hercules, quàm grande et alterum hoc periculum! Hæc autem, inquam ego, falsa Disciplina, quænam est? Annon vides, inquit, alterum illud septum? Equidem video, inquam. Nonne extra id septum, ad aditum, mulier quæpiam stat, quæ valde munda, et composita esse videtur? Plane, inquam, ita est. Hanc igitur multi ac vani hominum Disciplinam vocant: non tamen, inquit, ea est, sed Falsa Disciplina. Attamen qui servantur,

ὁπόταν βούλωνται εἰς τὴν ἀληθινὴν παιδείαν ἐλθεῖν, ὧδε πρῶτον παραγίνονται. πότερον οὖν ἄλλη ὁδὸς οὐκ ἔστιν, ἐπὶ τὴν ἀληθινὴν παιδείαν ἄγουσα; ἔστιν, ἔφη. οὗτοι δὲ οἱ ἄνθρωποι, οἱ ἔσω τοῦ περιβόλου ἀνακάμπτοντες, τίνες εἰσίν; οἱ τῆς ψευδοπαιδείας, ἔφη, ἐρασταὶ, ἠπατημένοι, οἰόμενοι μετὰ τῆς ἀληθινῆς παιδείας συνομιλεῖν. τίνες οὖν καλοῦνται οὗτοι; οἱ μὲν, ποιηταὶ, ἔφη· οἱ δὲ, ῥήτορες· οἱ δὲ, διαλεκτικοί· οἱ δὲ, μουσικοί· οἱ δὲ, ἀριθμητικοί· οἱ δὲ, γεωμέτραι· οἱ δὲ, ἀστρολόγοι· οἱ δὲ, ἡδονικοί· οἱ δὲ, περιπατητικοί· οἱ δὲ, κριτικοί· καὶ ὅσοι ἄλλοι τούτοις εἰσὶ παραπλήσιοι. αἱ δὲ γυναῖκες ἐκεῖναι, αἱ δοκοῦσαι περιτρέχειν, ὅμοιαι ταῖς πρώταις, ἐν αἷς ἔφης εἶναι τὴν ἀκρασίαν, καὶ αἱ ἄλλαι, αἱ μετ' αὐτῶν, τίνες εἰσίν; αὗται ἐκεῖναί εἰσιν, ἔφη. πότερον οὖν καὶ ὧδε εἰσπορεύονται; νὴ δία, καὶ ὧδε· σπανίως δὲ, καὶ οὐχὶ ὥς περ ἐν τῷ πρώτῳ περιβόλῳ. πότερον οὖν καὶ αἱ δόξαι; ναὶ, ἔφη. ἔτι μὲν γὰρ καὶ ἐν τούτοις τὸ πόμα, ὃ ἔπιον

quando ad Veram Disciplinam venire volunt, huc primum accedunt. Numquid igitur alia via nulla est, quæ ad Veram Disciplinam ducat? Est, inquit. Hi verò homines, qui intra septum remeant, quinam sunt? Falsæ, inquit, Disciplinæ amatores, decepti, dum Veræ Disciplinæ consuetudine se uti putant. Quibus verò nominibus isti adpellantur? Alii, inquit, Poëtæ; alii, Rhetores; alii, Dialectici; alii, Musici; alii, Arithmetici; alii, Geometræ; alii, Astrologi; alii, Voluptarii; alii, Peripatetici; alii, Critici, et quicunque alii his similes existunt. Verum istæ mulieres, quæ circumcursare videntur; primis similes, in quibus esse ajebas Incontinentiam; cæteræque cum illis versantes; quænam sunt? Illæ ipsæ sunt, inquit. Numquid igitur et huc commeant? Per Jovem, et huc. rarò tamen, nec ita uti in primo septo. Utrum verò et Opiniones. Certe, inquit. Namque et in his, per Jovem, potio illa adhuc, quam

παρὰ τῆς ἀπάτης, καὶ ἡ ἄγνοια μένει νὴ δία, καὶ μετ᾽ αὐτῆς γε ἡ ἀφροσύνη. καὶ οὐ μὴ ἀπέλθῃ ἀπ᾽ αὐτῶν οὔθ᾽ ἡ δόξα, οὔθ᾽ ἡ λοιπὴ κακία, μέχρις ἂν ἀπογνόντες τῆς ψευδοπαιδείας, εἰσέλθωσιν εἰς τὴν ἀληθινὴν ὁδὸν, καὶ πίωσι τὴν τούτου καθαρτικὴν δύναμιν, καὶ ἐκβάλωσι τὰ κακὰ πάνθ᾽ ὅσα ἔχουσι, καὶ τὰς δόξας, καὶ τὴν ἄγνοιαν, καὶ τὴν λοιπὴν πᾶσαν κακίαν. τότε ἂν οὕτω σωθήσονται. ὧδε δὲ μένοντες παρὰ τῇ ψευδοπαιδείᾳ, οὐδέποτε ἀπολυθήσονται, οὐδὲ ἐλλείψει αὐτοὺς κακὸν οὐδὲν, ἕνεκα τούτων τῶν μαθημάτων. ποία οὖν αὕτη ὁδός ἐστιν, ἡ φέρουσα ἐπὶ τὴν ἀληθινὴν παιδείαν; ὁρᾷς, ἔφη, ἄνω τόπον τινὰ ἐκεῖνον, ὅπου οὐδεὶς ἐπικατοικεῖ, ἀλλ᾽ ἔρημος δοκεῖ εἶναι; ὁρῶ. οὐκοῦν καὶ θύραν τινὰ μικρὰν, καὶ ὁδόν τινα πρὸς τῆς θύρας, ἥτις οὐ πολὺ ὀχλεῖται, ἀλλὰ πάνυ ὀλίγοι πορεύονται, ὥσπερ δυσανόδου τινὸς, καὶ τραχείας, καὶ πετρώδους εἶναι δοκούσης; καὶ μάλα, ἔφην. οὐκοῦν καὶ βουνός τις ὑψηλὸς δοκεῖ εἶναι, καὶ ἀνάβασις στενὴ πάνυ, καὶ κρημνοὺς

à Seductione hauserant, adeoque Inscitia manet, cumque ea Amentia. Neque verò ab illis recesserit aut Opinio, aut reliqua vitiorum caterva, antequam repudiatâ falsâ Disciplinâ, in veram viam ingressi fuerint, et poculum, istius potionis purgandæ vim habens, biberint, ejecerintque quæcunque habent mala, et opiniones, atque inscitiam, omnemque reliquam pravitatem. tum demum ita salvi evaserint. At si hîc apud falsam Disciplinam maneant, nunquam exsolventur; nec harum doctrinarum causâ ullum iis malum deerit. Cujusmodi igitur hæc via est, quæ ad Veram Disciplinam ducit? Viden', inquit, superiùs locum quendam, illum ubi nullus habitat, sed qui desertus esse videtur. Video. Nonne et januam quandam parvam, viamque aliquam ad januam, quæ parum à turba teritur: valdè enim pauci hac incedunt, ut quæ adscensu difficilis, et aspera, ac saxosa esse videatur? Admodum, inquam, video. Annon et collis quispiam excelsus esse videtur, et ad-

ἔχουσα ἔνθεν κἀκεῖθεν βαθεῖς; ὁρῶ. αὕτη τοίνυν ἐστὶν ἡ ὁδὸς, ἔφη, ἡ ἄγουσα πρὸς τὴν ἀληθινὴν παιδείαν· καὶ μάλα γε χαλεπὴ προσιδεῖν. οὐκοῦν καὶ ἄνω γε, περὶ τὸν βουνὸν, ὁρᾷς πέτραν μεγάλην, καὶ ὑψηλὴν, κύκλῳ ἀπόκρημνον; ὁρῶ, ἔφην. ὁρᾷς οὖν καὶ γυναῖκας δύο, ἑστηκυίας ἐπὶ τῆς πέτρας, λιπαρὰς, καὶ εὐεκτούσας τῷ σώματι, καὶ ὡς ἐκτετάκασι τὰς χεῖρας προθύμως; ὁρῶ. ἀλλὰ τίνες καλοῦνται, ἔφην, αὗται; ἡ μὲν ἐγκράτεια καλεῖται, ἔφη· ἡ δὲ, καρτερία. εἰσὶ δὲ ἀδελφαί. τί οὖν τὰς χεῖρας ἐκτετάκασιν οὕτω προθύμως; παρακαλοῦσιν, ἔφη, τοὺς παραγινομένους ἐπὶ τὸν τόπον, θαῤῥεῖν, καὶ μὴ ἀποδειλιᾶν, λέγουσαι· ὅτι βραχὺ ἔτι δεῖ καρτερῆσαι αὐτούς. εἶτα ἥξουσιν εἰς ὁδὸν καλήν. ὅταν οὖν παραγένωνται ἐπὶ τὴν πέτραν, πῶς ἀναβαίνουσιν; ὁρῶ γὰρ ὁδὸν φέρουσαν οὐδεμίαν ἐπ' αὐτήν. αὗται ἀπὸ τοῦ κρημνοῦ προσκαταβαίνουσι, καὶ ἕλκουσιν αὐτοὺς ἄνω πρὸς ἑαυτάς· εἶτα κελεύουσιν αὐτοὺς διαναπαύσασθαι. καὶ μετὰ μικρὸν

ſcenſus, arctus admodum, profunda hinc et illinc præcipitia habens? Video. Hæc igitur, inquit, via eſt, quæ ad Veram Diſciplinam ducit; quam etiam inſpicere quis horreat. Porrò viden' quoque ſuprà, circa collem, magnam, et excelſam, circumcirca præruptam rupem? Video, inquam. Vides præterea duas mulieres, ſupra rupe ſtantes, nitidas, et bona corporis habitudine, et quàm alacriter manus protenderint? Video: ſed quæ illarum, inquam, ſunt nomina? Altera, inquit, Continentia vocatur; altera, Tolerantia. ſunt autem ſorores. Quid igitur manus promtè adeo protenderunt? Hortantur, inquit, eos, qui ad hoc loci veniunt, ut bono animo atque intrepido ſint, dicuntque; Paululum adhuc ipſis eſſe tolerandum. in bonam viam deinde venturos. Ubi ergo ad rupem venerint, quomodo adſcendunt? neque enim ullam ſemitam video, quæ eò ducat. Illæ de præcipitio deſcendunt, eoſque ſurſum ad ſe trahunt: deinde eos quieſcere jubent. et paulò pòſt

διδόασιν ἰσχὺν καὶ θάρσος, καὶ ἐπαγγέλλονται αὐτοὺς καταστῆσαι πρὸς τὴν ἀληθινὴν παιδείαν, καὶ δεικνύουσιν αὐτοῖς τὴν ὁδὸν, ὡς ἔστι καλή τε καὶ ὁμαλὴ, καὶ εὐπόρευτος, καὶ καθαρὰ παντὸς κακοῦ, ὥσπερ ὁρᾷς. ἐμφαίνει, νὴ δία. ὁρᾷς οὖν, ἔφη, καὶ ἔμπροσθε τοῦ ἄλσους ἐκείνου τόπον τινὰ, ὃς δοκεῖ καλός τε εἶναι, καὶ λειμωνοειδὴς, καὶ φωτὶ πολλῷ καταλαμπόμενος; καὶ μάλα. κατανοεῖς οὖν καὶ ἐν μέσῳ τοῦ λειμῶνος περίβολον ἕτερον, καὶ πύλην ἑτέραν; ἔστιν οὕτως. ἀλλὰ τίς καλεῖται ὁ τόπος οὗτος; εὐδαιμόνων οἰκητήριον, ἔφη. ὧδε γὰρ διατρίβουσιν αἱ ἀρεταὶ πᾶσαι, καὶ ἡ εὐδαιμονία. εἶεν, ἔφην ἐγὼ, ὡς καλὸν τὸν τόπον εἶναι. οὐκοῦν παρὰ τὴν πύλην ὁρᾷς, ἔφη, ὅτι γυνὴ τίς ἐστι καλὴ, καὶ καθεστηκυῖα τὸ πρόσωπον, μέσῃ δὲ καὶ κεκριμένῃ ἤδη τῇ ἡλικίᾳ, στολὴν δ᾽ ἔχουσα ἁπλῆν, καὶ ἀκαλλώπιστον; ἕστηκε δὲ οὐκ ἐπὶ στρογγύλου λίθου, ἀλλ᾽ ἐπὶ τετραγώνου, ἀσφαλῶς κειμένου. καὶ μετὰ ταύτης ἄλλαι δύο εἰσί· θυγατέρες τινὲς δοκοῦσιν εἶναι. ἐμφαίνει

conferunt iis robur, ac fiduciam, et pollicentur, se ad veram Disciplinam eos perducturas: monstrant interim ipsis viam, ut et amœna sit, et plana, et expedita, et ab omni malo pura, quemadmodum vides. Adparet, per Jovem. Viden' verò, inquit, et ante istum saltum, locum quendam, qui amœnus esse videtur, et pratum speciem præfert, multoque lumine illustratur? Admodum. Num ergò et in prato medio septum aliud animadvertis, et portam aliam? Ita est. Sed quomodo hic locus adpellatur? Beatorum domicilium, inquit. Hîc enim vitam agunt virtutes omnes, ipsaque Beatitudo. Sic sane necesse est, inquam ego, amœnum esse locum. Vides igitur ad portam, inquit, mulierem quandam pulchram, vultu composito, mediâ autem et statâ jam ætate, simplici amictu absque lenocinio indutam? Insistit autem non rotundo, sed quadrato lapidi, firmiter posito: duas item cum ea alias, quæ filiæ ipsius esse videntur? Hæc ita se habere adparet. Harum igitur

οὕτως ἔχειν. τούτων τοίνυν ἡ μὲν ἐν τῷ μέσῳ, παιδεία ἐστίν· ἡ δὲ, ἀλήθεια· ἡ δὲ, πειθώ. τί δὲ ἕστηκεν ἐπὶ λίθου τετραγώνου αὕτη; Σημεῖον, ἔφη, ὅτι ἀσφαλής τε, καὶ βεβαία, ἡ πρὸς αὐτὴν ὁδός ἐστι τοῖς ἀφικνουμένοις, καὶ τῶν διδομένων ἀσφαλὴς ἡ δόσις τοῖς λαμβάνουσι. καὶ τίνα ἐστὶν, ἃ δίδωσιν αὕτη; θάρσος, καὶ ἀφοβία, ἔφη ἐκεῖνος. ταῦτα δὲ τίνα ἐστίν; ἐπιστήμη, ἔφη, τοῦ μηδὲν ἄν ποτε δεινὸν παθεῖν ἐν τῷ βίῳ. ἡράκλεις, ὡς καλὰ, ἔφην, τὰ δῶρα. ἀλλὰ τίνος ἕνεκεν ἔξω τοῦ περιβόλου ἕστηκεν οὕτως; ὅπως τοὺς παραγενομένους, ἔφη, θεραπεύῃ, καὶ ποτίζῃ τῇ καθαρτικῇ δυνάμει. εἶθ᾽ ὅταν καθαρθῶσιν, οὕτως αὐτοὺς εἰσάγῃ πρὸς τὰς ἀρετάς. πῶς τοῦτο, ἔφην ἐγώ; οὐ γὰρ συνίημι. ἀλλὰ συνήσεις, ἔφη. ὡς ἂν εἴ τις φιλοτίμως κάμνων ἐτύγχανε, πρὸς τὸν ἰατρὸν ἂν δήπου γενόμενος, πρότερον καθαρτικοῖς ἐξέβαλε πάντα τὰ νοσοποιοῦντα· εἶτα οὕτως ἂν αὐτὸν ὁ ἰατρὸς εἰς ἀνάληψιν, καὶ ὑγίειαν, καθέστηκεν· εἰ δὲ μὴ ἐπείθετο οἷς ἐπέταττεν, εὐ-

illa, quæ in medio consistit, Disciplina est; ista, Veritas; hæc, Suada. Quid verò hæc quadrato lapidi insistit? Signum, inquit, est, adeuntibus viam ad eam esse certam, firmamque, nec minus certò ab accipientibus possideri quæ ab ea dantur. Et quæ sunt illa, quæ hæc donat? Fiducia, et Timoris vacuitas, inquit ille. Hæc autem quænam sunt? Scientia, inquit, nihil unquam in vita grave patiendi. Deum immortalem, inquam, quam pulchra illa sunt dona. Sed quamobrem ita stat extra septum? Ut accedentibus, inquit, medeatur, et vim purgatricem propinet: et posteaquam purgati fuerint, sic eos ad virtutes introducat. Quomodo illud, inquam ego? neque enim intelligo. At intelliges, inquit. Quemadmodum si quis fortè morbo graviter laborans, et ad medicum veniens, priùs purgantibus medicamentis omnia, quæ morbo causam dederunt, ejiceret; sic purgatum postea medicus viribus ac sanitati restitueret; sin iis, quæ præciperen-

λόγως ἂν δήπου ἀπωσθεὶς ἐξώλετο ὑπὸ τῆς νόσου. ταῦτα ξυνίημι, ἔφην ἐγώ. τὸν αὐτὸν τοίνυν τρόπον, ἔφη, καὶ πρὸς τὴν παιδείαν ὅταν τις παραγίγνηται, θεραπεύει αὐτὸν, καὶ ποτίζει τῇ ἑαυτῆς δυνάμει, ὅπως ἐκκαθάρῃ πρῶτον, καὶ ἐκβάλῃ τὰ κακὰ πάντα, ὅσα ἔχων ἦλθε. ποῖα ταῦτα; τὴν ἄγνοιαν, καὶ τὸν πλάνον, ὃν ἐπεπώκει παρὰ τῆς ἀπάτης, καὶ τὴν ἀλαζονείαν, καὶ τὴν ἐπιθυμίαν, καὶ τὴν ἀκρασίαν, καὶ τὸν θυμὸν, καὶ τὴν φιλαργυρίαν, καὶ τὰ λοιπὰ πάντα, ὧν ἐνεπλήσθη ἐν τῷ πρώτῳ περιβόλῳ. ὅταν οὖν καθαρθῇ, ποῦ αὐτὸν ἀποστέλλει; ἔνδον, ἔφη, πρὸς τὴν ἐπιστήμην, καὶ πρὸς τὰς ἄλλας ἀρετάς. ποίας ταύτας; οὐχ ὁρᾷς, ἔφη, ἔσω τῆς πύλης χορὸν γυναικῶν, αἳ εὐειδεῖς δοκοῦσιν εἶναι, καὶ εὔτακτοι, καὶ στολὴν ἀτρύφερον, καὶ ἁπλῆν ἔχουσιν· ἔτι τε ὡς ἄπλαστοί εἰσι, καὶ οὐδαμῶς κεκαλλωπισμέναι, ὥσπερ αἱ ἄλλαι; ὁρῶ, ἔφην. ἀλλὰ τίνες αὗται καλοῦνται; ἡ μὲν πρώτη, ἐπιστήμη, ἔφη, καλεῖται· αἱ δὲ ἄλλαι, ταύτης ἀδελ-

tur, non paruerit, meritò rejectus, morbo perierit. Hæc intelligo, inquam ego. Ad eundem igitur, inquit, modum, ad Disciplinam quoque si quis accesserit, medicinam ipsi facit, et vim suam propinat, ut expurget primùm, ac ejiciat omnia mala, quæ secum attulit. Quænam hæc? Ignorantiam, atque Errorem, quem à Seductione hauserat, et Adrogantiam, et Cupiditatem, et Incontinentiam, et Iram, et Avaritiam, et reliqua omnia, quibus in primo septo imbutus fuerat. Quando igitur purgatus fuerit, quò ipsum ablegat? Intrò, inquit, ad Scientiam, et ad reliquas virtutes. Quas verò illas? Annon vides, inquit, intra portam, chorum mulierum, quæ bonâ formâ videntur esse, et compositis moribus, et amictu simplici, minimeque luxurioso decoræ: præterea ut non fucatæ, et nequaquam, uti reliquæ, ornatæ incedant? Video, inquam. Sed quæ sunt harum nomina? Prima, inquit, Scientia vocatur: cæteræ, hujus sorores, sunt

φαὶ, ἀνδρεία, καὶ δικαιοσύνη, καλοκαγαθία, σωφροσύνη, εὐταξία, ἐλευθερία, ἐγκράτεια, πραότης. ὦ κάλλισαι, ἔφην ἔγω γε· ὡς ἐν μεγάλῃ ἐλπίδι ἐσμέν. ἐαν συνῆτε, ἔφη, καὶ ἕξιν περιποιήσησθ' ὧν ἀκούετε. ἀλλὰ προσέξομεν ὡς μάλισα, ἔφην ἔγωγε. τοιγαροῦν, ἔφη, σωθήσεσθε. ὅταν ὄυν παραλάβωσιν αὐτὸν ἆυται, ποῦ ἀπάγουσι; πρὸς τὴν μητέρα, ἔφη. ἄυτη δὲ τίς ἐστιν; εὐδαιμονία, ἔφη. ποία δέ ἐστιν ἄυτη; ὁρᾷς τὴν ὁδὸν ἐκείνην, τὴν φέρουσαν ἐπὶ τὸ ὑψηλὸν ἐκεῖνο, ὅ ἐστιν ἀκρόπολις τῶν περιβόλων πάντων; ὁρῶ. οὐκοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ καθεστηκυῖα, εὐειδής τις, κάθηται ἐπὶ θρόνου ὑψηλοῦ, κεκοσμημένη ἐλευθέρως, καὶ ἀπεριέργως, καὶ ἐστεφανωμένη στεφάνῳ εὐανθεῖ πάνυ καλῶς; ἐμφαίνει ὄυτως ἔχειν. ἄυτη τοίνυν ἐστὶν ἡ εὐδαιμονία, ἔφη. ὅταν ὄυν ὧδέ τις παραγένηται, τί ποιεῖ; στεφανοῖ αὐτὸν, ἔφη, τῇ ἑαυτῆς δυνάμει ἡ εὐδαιμονία, καὶ αἱ ἄλλαι πᾶσαι ἀρεταὶ, ὥσπερ τοὺς νενικηκότας τοὺς μεγίστους ἀγῶνας.

Fortitudo, et Justitia, Benignitas, Temperantia, Modestia, Libertas, Continentia, Mansuetudo. O pulcherrimas, inquam ego! quàm magna in spe sumus! Si intellexeritis, inquit, eorumque, quæ auditis, habitum adquisiveritis. Enimverò attendemus quàm maximè, inquam ego. Quare, inquit, salvi evadetis. Cùm igitur hunc acceperint illæ, quò abducunt? Ad matrem, inquit. Hæc verò quæ est? Beatitudo, inquit. At quænam est illa? Vides viam istam, quæ ad fastigium illud, quod omnium septorum arx est, ducit? Video. Nonne in propylæo formosa quædam mulier, ætate integra, in alto solio sedet, liberaliter ornata, ac sine fuco, eaque coronâ floridâ admodum bellè redimita? Id ita esse adparet. Hæc igitur est illa Beatitudo, inquit. Cum igitur huc quis advenerit, quid agit? Coronat ipsum, inquit, sua vi Beatitudo, et reliquæ virtutes omnes, ut qui maximis certaminibus victor evaserit.

καὶ ποίους ἀγῶνας νενίκηκεν αὐτός; ἔφην ἐγώ. τοὺς μεγίστους, ἔφη· καὶ τὰ μέγιστα θηρία, ἃ πρότερον αὐτὸν κατήσθιε, καὶ ἐκόλαζε, καὶ ἐποίει δοῦλον. ταῦτα πάντα νενίκηκε, καὶ ἀπέρριψεν ἀφ' ἑαυτοῦ, καὶ κεκράτηκεν ἑαυτοῦ, ὥστε ἐκεῖνα νῦν τούτῳ δουλεύουσι, καθάπερ οὗτος ἐκείνοις πρότερον. ποῖα λέγεις ταῦτα τὰ θηρία; πάνυ γὰρ ἐπιθυμῶ ἀκοῦσαι. πρῶτον μὲν, ἔφη, τὴν ἄγνοιαν, καὶ τὸν πλάνον. ἢ οὐ δοκεῖ σοι θηρία ταῦτα εἶναι; καὶ πονηρά γε, ἔφην ἐγώ. εἶτα τὴν λύπην, καὶ τὸν ὀδυρμὸν, καὶ τὴν φιλαργυρίαν, καὶ τὴν ἀκρασίαν, καὶ τὴν λοιπὴν ἅπασαν κακίαν. πάντων τούτων κρατεῖ, καὶ οὐ κρατεῖται, ὥσπερ τὸ πρότερον. ὢ καλῶν ἔργων, ἔφην ἐγὼ, καὶ καλλίστης νίκης. ἀλλ' ἐκεῖνο ἔτι μοὶ εἰπὲ, τίς ἡ δύναμις τοῦ στεφάνου, ᾧ ἔφης στεφανοῦσθαι αὐτόν; εὐδαιμονικὴ, ὦ νεανίσκε. ὁ γὰρ στεφανωθεὶς ταύτῃ τῇ δυνάμει, εὐδαίμων γίνεται, καὶ μακάριος, καὶ οὐκ ἔχει ἐν ἑτέροις τὰς ἐλπίδας τῆς εὐδαιμονίας, ἀλλ' ἐν ἑαυτῷ. ὡς καλὸν τὸ νίκημα λέγεις.

At cujusmodi ille certaminibus victor extitit? inquam ego. Maximis, inquit; et feras maximas, quæ priùs ipsum devorabant, et cruciabant, et servum faciebant, devicit. Hæc, inquam, devicit omnia, et à se projecit, et sui compos factus est; adeo ut illa jam huic, quemadmodum hîc ante illis, serviant. Quasnam illas feras dicis? hoc enim audire admodum cupio. Primùm, inquit, Ignorantiam, et Errorem. annon verò hæ tibi feræ esse videntur? Et verò pessimæ; inquam ego. Deinde Mœstitiam, et Ploratum, et Avaritiam, et Incontinentiam, et reliquam omnem pravitatem. His omnibus imperat, nec ab ulla ipsi, uti antè, imperatur. O pulchra facinora, inquam ego, et pulcherrimam victoriam! Cæterùm illud insuper mihi dic; quænam vis est ejus coronæ, qua eum coronari ajebas? Quæ beatum efficiat, ô juvenis. qui enim hac vi coronatus fuerit, felix est, et beatus, nec in aliis spes felicitatis habet; sed in semetipso. Ut pulchram victoriam dicis!

ὅταν δὲ στεφανωθῇ, τί ποιεῖ, ἢ ποῖ βαδίζει; ἄγουσιν αὐτὸν, ὑπολαβοῦσαι αἱ ἀρεταὶ, πρὸς τὸν τόπον ἐκεῖνον, ὅθεν ἦλθε πρότερον, καὶ δεικνύουσιν αὐτῷ τοὺς ἐκεῖ διατρίβοντας, ὡς κακῶς καὶ ἀθλίως ζῶσι, καὶ ὡς ναυαγοῦσιν ἐν τῷ βίῳ, καὶ πλανῶνται, καὶ ἄγονται καταπεκρατημένοι, ὥσπερ ὑπὸ πολεμίων· οἱ μὲν ὑπ' ἀκρασίας· οἱ δὲ ὑπ' ἀλαζονείας· οἱ δὲ ὑπὸ φιλαργυρίας· οἱ δὲ ὑπὸ κενοδοξίας· ἕτεροι δὲ ὑφ' ἑτέρων κακῶν, ἐξ ὧν οὐ δύνανται ἐκλῦσαι ἑαυτοὺς τῶν δεινῶν, οἷς δέδενται, ὥστε σωθῆναι, καὶ ἀφικέσθαι ὧδε· ἀλλὰ ταράττονται διὰ παντὸς τοῦ βίου. τοῦτο δὲ πάσχουσι, διὰ τὸ μὴ δύνασθαι τὴν ἐνθάδε ὁδὸν εὑρεῖν. ἐπελάθοντο γὰρ τὸ παρὰ τοῦ δαιμονίου πρόσταγμα. ὀρθῶς μοι δοκεῖς λέγειν. ἀλλὰ καὶ τοῦτο πάλιν ἀπορῶ, διὰ τί δεικνύουσιν αὐτῷ τὸν τόπον ἐκεῖνον αἱ ἀρεταὶ, ὅθεν ἥκει τὸ πρότερον; οὐκ ἀκριβῶς ᾔδει, οὐδὲ ἠπίστατο, ἔφη, οὐδὲν τῶν ἐκεῖ, ἀλλ' ἐνεδοίαζε, καὶ διὰ τὴν ἄγνοιαν, καὶ τὸν πλάνον, ὃν δὴ ἐπεπώκει, τὰ μὴ ὄντα

Poſtquam verò coronatus fuerit, quid facit, aut quò abit? Suſcipiunt ipſum virtutes, et ad illum locum ducunt, ex quo priùs advenerat, eique oſtendunt, qui ibi verſantur, quàm malam ac miſeram vitam degant, et ut in vita naufragium faciant, aberrentque, et quaſi capti ab hoſtibus agantur: alii, ab Incontinentia; alii, ab Adrogantia; alii, ab Avaritia; alii, à Vana Gloria; alii, ab aliis malis: è quibus difficultatibus, quibus conſtricti tenentur, ſe exſolvere nequeant, ut ſerventur, atque huc adveniant; ſed totâ vitâ turbentur. Atque hoc ipſis évenit, quod viam, quæ huc ducit, invenire nequeant. quippe præcepti illius obliti ſunt, quod ipſis Genius dederat. Rectè mihi dicere videris. Sed de hoc iterum ambigo; quare ipſi locum illum, è quo priùs venerat, virtutes monſtrent? Nihil eorum, quæ ibi eſſent, inquit, accuratè noverat, aut ſciebat; ſed animo hærens, propter Inſcitiam, atque Errorem, quem biberat, ea, quæ bona non erant,

ἀγαθὰ, ἐνόμιζεν ἀγαθὰ εἶναι, καὶ τὰ μὴ ὄντα κακὰ, κακά. διὸ καὶ ἔζη κακῶς, ὥσπερ οἱ ἄλλοι, οἱ ἐκεῖ διατρίβοντες. νῦν δὲ ἀπειληφὼς τὴν ἐπιστήμην τῶν συμφερόντων, αὐτός τε καλῶς ζῇ, καὶ τούτους θεωρεῖ, ὡς κακῶς πράσσουσιν. ἐπειδὰν οὖν θεωρήσῃ πάντα, τί ποιεῖ, ἢ ποῖ βαδίζει; ὅπου ἂν βούληται, ἔφη. πανταχοῦ γάρ ἐστιν αὐτῷ ἀσφάλεια, ὥσπερ τὸ κωρύκιον ἄντρον ἔχοντι. καὶ πανταχοῦ οὗ ἂν ἀφίκηται, πάντα καλῶς βιώσεται, μετὰ πάσης ἀσφαλείας. ὑποδέξονται γὰρ αὐτὸν ἀσμένως πάντες· καθάπερ τὸν ἰατρὸν οἱ πάσχοντες. πότερον οὖν κἀκείνας τὰς γυναῖκας, ἃς ἔφης θηρία εἶναι, οὐκ ἔτι φοβεῖται, μή τι πάθῃ ὑπ᾽ αὐτῶν; οὐδὲν οὐ μὴ διοχληθήσεται, οὔτε ὑπὸ ὀδύνης, οὔτε ὑπὸ λύπης, οὔτε ὑπ᾽ ἀκρασίας, οὔτε ὑπὸ φιλαργυρίας, οὔτε ὑπὸ πενίας, οὔτε ὑπ᾽ ἄλλου κακοῦ οὐδενός. ἁπάντων γὰρ κυριεύει, καὶ ἐπάνω πάντων ἐστὶ τῶν πρότερον αὐτὸν λυπούντων· καθάπερ οἱ ἐχιόδηκτοι. τὰ γὰρ θηρία δήπου, πάντας τοὺς ἄλλους κακοποι-

bona esse censebat; et mala, quæ non erant mala. Ideoque malè vivebat, uti reliqui, qui ibi versantur. Nunc autem, postquam scientiam eorum, quæ conducunt, adeptus est; et ipse bene vivit, et illos, quàm malè vivant, contemplatur. Ubi igitur omnia contemplatus fuerit, quid agit, aut quò abit? Quocunque voluerit, inquit. Ubique enim præsidium ipsi præstò est, tanquam Corycéum antrum habenti: et quocunque venerit, optime vitam deget, et quàm maximè securè. Ipsum quippe omnes libenter suscipient, uti medicum ægroti. Utrum igitur et illas mulieres, quas feras esse ajebas, nihil ampliùs metuit, ne ab ipsis lædatur? Nunquam ille quidquam molestabitur, aut ab Anxietate; aut à Tristitia; aut ab Intemperantia; aut ab Avaritia; aut à Paupertate; aut ab ullo alio malo: quippe omnibus dominatur, et supra omnia est, quæ ipsum antea tristitiâ adficiebant; quemadmodum viperarum venatores. Hæ enim bestiæ, cum cæteros ad mortem us-

οὖντα μέχρι θανάτου, ἐκείνους οὐ λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον αὐτοὺς τοῦτο. καὶ τοῦτον οὐδὲν λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον.. καλῶς ἐμοὶ δοκεῖς λέγειν. ἀλλ᾽ ἔτι τοῦτό μοι εἰπὲ, τίνες εἰσὶν οὗτοι, οἱ δοκοῦντες ἐκεῖθεν ἀπὸ τοῦ βουνοῦ παραγίγνεσθαι; καὶ οἱ μὲν αὐτῶν ἐστεφανωμένοι, ἔμφασιν ποιοῦσιν εὐφροσύνης τινός· οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν ἀπεγνωσμένοι, καὶ τὰς κνήμας, καὶ τὰς κεφαλὰς δοκοῦσι τετρίφθαι, κατέχονται δὲ ὑπὸ γυναικῶν τινων; οἱ μὲν ἐστεφανωμένοι, σεσωσμένοι εἰσὶ πρὸς τὴν παιδείαν, καὶ εὐφραίνονται τετυχηκότες αὐτῆς· οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν ἀπεγνωσμένοι ὑπὸ τῆς παιδείας, ἀνακάμπτουσι, κακῶς καὶ ἀθλίως διακείμενοι· οἱ δὲ ἀποδεδειλιακότες, καὶ ἀναβεβηκότες πρὸς τὴν καρτερίαν, πάλιν ἀνακάμπτουσι, καὶ πλανῶνται ἀνοδίᾳ. αἱ δὲ γυναῖκες, αἱ μετ᾽ αὐτῶν ἀκολουθοῦσαι, τίνες εἰσὶν αὗται; λῦπαι, ἔφη, καὶ ὀδύναι, καὶ ἀθυμίαι, καὶ ἀδοξίαι, καὶ ἄγνοιαι. πάντα κακὰ λέγεις αὐτοῖς ἀκολουθεῖν. νὴ Δία, πάντα, ἔφη,

que lædant, illis non nocent, quia id remedii ipsi habeant. Ita quoque hunc nihil lædit; quod remedium habeat. Rectè mihi dicere vidéris. Verùm hoc mihi præterea edissere; quinam illi sunt, qui inde à colle isto adveniunt? quorum alii coronati, speciem lætitiæ cujusdam præ se ferunt: alii non coronati, qui cùm desperarint, suras ac capita videntur contusi; detinentur autem à quibusdam mulieribus. Coronati ii sunt, qui à Disciplina sunt servati, adeoque lætantur, quod ipsam adepti fuére: at non coronati partim illi sunt, qui, cum à Disciplina sint desperati, remeant, malè ac misere adfecti: partim, qui timore percussi, etiam cum ad Tolerantiam adscendissent, denuo regrediuntur, et viæ ignoratione errant. At mulieres istæ, quæ ipsos insequuntur, quænam sunt? Tristitiæ, inquit, et Anxietates, et Exanimationes, et Ignominiæ, et Inscitiæ. Omnia mala ipsos sequi dicis. Per jovem, omnia, inquit,

ἀκολουθοῦσιν. ὅταν δὲ οὗτοι παραγένωνται εἰς τὸν πρῶτον περίβολον, πρὸς τὴν ἡδυπάθειαν, καὶ τὴν ἀκρασίαν, οὐχ ἑαυτοὺς αἰτιῶνται· ἀλλ' εὐθὺς κακῶς λέγουσι, καὶ τὴν παιδείαν, καὶ τοὺς ἐκεῖσε βαδίζοντας, ὡς ταλαίπωροι, καὶ ἄθλιοί εἰσι, καὶ κακοδαίμονες· οἱ τὸν βίον τὸν παρ' αὐτοῖς ἀπολιπόντες, κακῶς ζῶσι, καὶ οὐκ ἀπολαύουσι τῶν παρ' αὐτοῖς ἀγαθῶν. ποῖα δὲ λέγουσιν ἀγαθὰ εἶναι; τὴν ἀσωτίαν, καὶ τὴν ἀκρασίαν, ὡς εἴποι ἄν τις ἐπὶ κεφαλαίου. τὸ γὰρ εὐωχεῖσθαι βοσκημάτων τρόπον, ἀπόλαυσιν μεγίστων ἀγαθῶν ἡγοῦνται εἶναι. αἱ δὲ ἕτεραι γυναῖκες, αἱ ἐκεῖθεν παραγιγνόμεναι, ἱλαραί τε καὶ γελῶσαι, τίνες καλοῦνται; δόξαι, ἔφη· καὶ ἀγαγοῦσαι πρὸς τὴν παιδείαν τοὺς εἰσελθόντας πρὸς τὰς ἀρετὰς, ἀνακάμπτουσιν, ὅπως ἑτέρους ἀγάγωσι, καὶ ἀναγγείλωσιν, ὅτι εὐδαίμονες ἤδη γεγόνασιν, οὓς τότε ἀπήγαγον. πότερον οὖν, ἔφην ἐγὼ, αὗται εἴσω πρὸς τὰς ἀρετὰς εἰσπορεύονται; ἔφη, οὔ. οὐ γὰρ θέμις, δόξαν εἰσπορεύεσθαι πρὸς τὴν ἐ-

ſequuntur. Cæterùm hi, cùm ad primum ſeptum, ad Voluptatem, et Intemperantiam, pervenerint, non ſe ipſos incuſant; ſed ſtatim et Diſciplinæ, iisque qui ibi incedunt, maledicunt; ut miſeri, ac calamitoſi, et infelices ſint: qui eorum vitâ deſertâ malè vivant, nec iis bonis, quibus ipſi gaudent, fruantur. Quænam verò bona eſſe dicunt? Luxuriam, et Intemperantiam, ut quis ſummatim dixerit. Nam pecudum inſtar epulari, maximorum bonorum fruitionem eſſe cenſent. At aliæ mulieres, quæ inde adveniunt, hilares ridentesque, quo nomine vocantur? Opiniones, inquit: quæ, ubi ad Diſciplinam perduxerint eos, qui ad virtutes ingreſſi ſunt, revertuntur, ut alios adducant; et nuncient, quos tum abduxére, jam factos eſſe beatos. Num verò, inquam ego, hæ ad Virtutes introëunt? Ajebat, non. Neque enim fas eſt, Opinionem ad Scientiam ingre-

πιστήμην· ἀλλὰ τῇ παιδείᾳ παραδιδόασιν αὐτούς. εἶτα ὅταν ἡ παιδεία παραλάβῃ, ἀνακάμπτουσιν αὗται πάλιν, ἄλλους ἄξουσαι. ὥσπερ αἱ νῆες, τὰ φορτία ἐξελόμεναι, πάλιν ἀνακάμπτουσι, καὶ ἄλλων τινῶν γεμίζονται. ταῦτα μὲν δὴ καλῶς μοι δοκεῖς, ἔφην, ἐξηγῆσθαι· ἀλλ' ἐκεῖνο οὐδέπω ἡμῖν δεδήλωκας, τί προστάττει τὸ δαιμόνιον τοῖς εἰσπορευομένοις εἰς τὸν βίον ποιεῖν; θαῤῥεῖν, ἔφη. διὸ καὶ ὑμεῖς θαῤῥεῖτε· πάντα γὰρ ἐξηγήσομαι, καὶ οὐδὲν παραλείψω. καλῶς λέγεις, ἔφην ἐγώ. ἐκτείνας οὖν τὴν χεῖρα πάλιν, ὁρᾶτε, ἔφη, τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή τις εἶναι, καὶ ἐπὶ λίθου στρογγύλου ἑστάναι, ἣν καὶ ἄρτι ὑμῖν εἶπον, ὅτι τύχη καλεῖται; ὁρῶμεν. ταύτῃ κελεύει, ἔφη, μὴ πιστεύειν, καὶ βέβαιον μηδὲν πιστεύειν, μηδὲ ἀσφαλὲς ἔχειν, ὅ,τι ἂν παρ' αὐτῆς λάβῃ τὶς, μηδὲ ὡς ἴδια ἡγεῖσθαι. οὐδὲν γὰρ κωλύει ταῦτα πάλιν ἀφελέσθαι, καὶ ἑτέρῳ διδόναι. πολλάκις γὰρ τοῦτο εἴωθε ποιεῖν. καὶ διὰ ταύτην οὖν τὴν αἰτίαν κελεύει, μὴ πρὸς τὰς αὐτῆς

di; ſed Diſciplinæ illos tradunt: quos ubi Diſciplina acceperit, hæ revertuntur rurſus, alios adductura. Quemadmodum naves, depoſitis oneribus, iterum regrediuntur, et aliis quibusdam implentur. Hæc ſanè, inquam, egregiè mihi explicaſſe vidéris: ſed illud necdum nobis declarâſti, quid Genius in vitam ingredientibus facere præcipiat. Bono animo eſſe, inquit. Quàre et vos eſte bono animo: omnia enim explicabo, et nihil prætermittam. Rectè dicis, inquam ego. Extenſâ igitur iterum manu, Videtis, inquit, mulierem illam, quæ cœca quædam eſſe videtur, et rotundo lapidi inſiſtere, quam et modò, Fortunam adpellari, vobis dicebam. Videmus. Huic, inquit, non credere jubet; et perſuaſum habere, nihil firmi certique ineſſe iis, quæ quis ab ea acceperit, nec ut propria eſſe ducenda. Nihil enim vetat hæc rurſus eripere, et alii dare. id quod ſæpe facere ſolet. Hanc igitur ob cauſam quoque jubet, animum donis ejus invictum

δόσεις ἥττους γίγνεσθαι· καὶ μήτε χαίρειν, ὅταν διδῷ, μήτε ἀθυμεῖν, ὅταν ἀφέληται· καὶ μήτε ψέγειν αὐτὴν, μήτε ἐπαινεῖν. οὐδὲν γὰρ ποιεῖ μετὰ λογισμοῦ, ἀλλ' εἰκῇ, καὶ ὡς ἔτυχε, πάντα· ὥσπερ πρότερον ὑμῖν ἔλεξα. διὰ τοῦτο οὖν τὸ δαιμόνιον κελεύει μὴ θαυμάζειν, ὅ,τι ἂν πράττῃ αὐτὴ, μηδὲ γίγνεσθαι ὁμοίους τοῖς κακοῖς τραπεζίταις. καὶ γὰρ ἐκεῖνοι, ὅταν μὲν λάβωσι τὸ ἀργύριον παρὰ τῶν ἀνθρώπων, χαίρουσι, καὶ ἴδιον νομίζουσιν εἶναι· ὅταν δὲ ἀπαιτῶνται, ἀγανακτοῦσι, καὶ δεινὰ οἴονται πεπονθέναι, οὐ μνημονεύοντες, ὅτι ἐπὶ τούτῳ ἔλαβον τὰ θέματα, ἐφ' ᾧ οὐδὲν κωλύειν τὸν θέμενον πάλιν κομίσασθαι. ὡσαύτως τοίνυν κελεύει ἔχειν τὸ δαιμόνιον, καὶ πρὸς τὴν παρ' αὐτῆς δόσιν· καὶ μνημονεύειν, ὅτι τοιαύτην ἔχει φύσιν ἡ τύχη, ὥστε, ἃ δέδωκεν, ἀφελέσθαι, καὶ ταχέως πάλιν δοῦναι πολλαπλάσια. αὖθις δὲ ἀφελέσθαι, ἃ δέδωκεν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ προϋπάρχοντα. ἃ γοῦν διδῷ, κελεύει λαμβάνειν παρ' αὐ-

habere : et nec gaudere, cùm dederit; nec exanimari, cùm eripuerit : atque nec vituperare eam, nec laudare. Nihil enim agit cum ratione; ſed temerè, et ut libitum fuerit, omnia. quemadmodum antè vobis dixi. Propterea igitur Genius jubet, non admirari, quodcunque hæc fecerit, nec improbis menſariis fieri ſimiles. Etenim hi, cum argentum ab hominibus accipiunt, gaudent, et proprium eſſe cenſent: cum autem repetitur, indignantur, et iniqua pati putant; non recordantes, hoc pacto ſe mutuum accepiſſe, ut quando luberet, creditor id repeteret. Eodem igitur modo Genius jubet etiam erga iſtius dona adfectos eſſe; ac meminiſſe, hujusmodi naturâ eſſe Fortunam, ut, quæ dedit, eripiat; et ſtatim rurſus magna acceſſione dona augeat: iterum verò eripiat, quæ dederat; nec ſola ea, ſed etiam quæ quis antè poſſidebat. Quæ igitur donet, ab illa accipere ju-

τῆς, καὶ συντόμως ἀπελθεῖν ἔχοντα πρὸς τὴν βεβαίαν, καὶ ἀσφαλῆ δόσιν. ποίαν ταύτην; ἔφην ἐγώ. ἣν λήψονται παρὰ τῆς παιδείας, ἣν διασωθῶσιν ἐκεῖ. αὕτη οὖν τίς ἐστιν; ἡ ἀληθὴς ἐπιστήμη, ἔφη, τῶν συμφερόντων, καὶ ἀσφαλὴς δόσις, καὶ βεβαία, καὶ ἀμετάβλητος. φεύγειν οὖν κελεύει συντόμως πρὸς ταύτην· καὶ ὅταν ἔλθωσι πρὸς τὰς γυναῖκας ἐκείνας, ἃς καὶ πρότερον εἶπον, ὅτι ἀκρασία, καὶ ἡδυπάθεια καλοῦνται, καὶ ἐντεῦθεν κελεύει συντόμως ἀπαλλάττεσθαι, καὶ μὴ πιστεύειν μηδὲ ταύταις μηδὲν, ἕως ἂν πρὸς τὴν ψευδοπαιδείαν ἀφίκωνται. κελεύει οὖν αὐτοῖς χρόνον τινὰ ἐνδιατρείψαι, καὶ λαβεῖν ὅ,τι ἂν βούλωνται παρ᾽ αὐτῆς, ὥς περ ἐφόδιον· εἶτα ἐντεῦθεν ἀπιέναι πρὸς τὴν ἀληθινὴν παιδείαν συντόμως. ταῦτ᾽ ἐστὶν ἃ προστάσσει τὸ δαιμόνιον. ὅστις τοίνυν παρ᾽ αὐτά τι ποιεῖ, ἢ παρακούει, ἀπόλλυται κακὸς κακῶς. ὁ μὲν δὴ μῦθος, ὦ ξένοι, ὁ ἐν τῷ πίνακι, τοιοῦτος ἡμῖν ἐστιν. εἰ δὲ δεῖ τι προσπυθέσθαι περὶ ἑκάστου τούτων, οὐδεὶς φθό-

bet, ac cum iis ſine mora abire ad firmum, et certum donum. Ecquod illud? inquam ego. Quod à Diſciplina accepturi ſunt, ſi ibi ſerventur. Quodnam autem hoc eſt? Vera ſcientia, inquit, eorum quæ conducunt, et certum donum, et firmum, et immutabile. Quare ſtatim ad hanc fugere jubet; ubi verò ad illas mulieres venerint, quas Intemperantiam, et Voluptatem vocari, etiam antè dixi, hinc itidem ſubito jubet diſcedere, neque his ulla in re fidem habere, donec ad Falſam Diſciplinam pervenerint. Atque hîc aliquamdiu commorari eos jubet, et, quodcunque voluerint, ab ipſa ſumere, quaſi viaticum: poſtea hinc curſim abire ad Veram Diſciplinam. Hæc ſunt quæ Genius præcipit. Quiſquis igitur aliter quidquam fecerit, aut inobediens fuerit, ille malus eſt, et male peribit. Atque hujuſmodi eſt fabula illa, ô hoſpites, quam hæc tabula exhibet. Quod ſi de unoquoque horum præterea aliquid ſciſcitari opus

νος· ἐγὼ γὰρ ὑμῖν φράσω. καλῶς λέγεις, ἔφην ἐγώ. ἀλλὰ τί κελεύει αὐτοὺς τὸ δαιμόνιον λαβεῖν παρὰ τῆς ψευδοπαιδείας; ταῦθ᾽ ἃ δοκεῖ εὔχρηστα εἶναι. ταῦτ᾽ οὖν τίνα ἐστί; γράμματα, ἔφη, καὶ τῶν ἄλλων μαθημάτων, ἃ καὶ πλάτων φησὶν, ὡσανεὶ χαλινοῦ τινος δύναμιν ἔχειν τοῖς νέοις, ἵνα μὴ εἰς ἕτερα περισπῶνται. πότερον δὲ ἀνάγκη ταῦτα λαβεῖν, εἰ μέλλοι τις ἥξειν πρὸς τὴν ἀληθινὴν παιδείαν, ἢ οὔ; ἀνάγκη μὲν οὐδεμία, ἔφη· χρήσιμα μέν τοι ἐστί. πρὸς δὲ τὸ βελτίους γενέσθαι, οὐδὲν συμβάλλεται ταῦτα. οὐδὲν ἄρα λέγεις ταῦτα χρήσιμα εἶναι, πρὸς τὸ βελτίους γενέσθαι ἄνδρας; οὐδέν· ἔστι γὰρ καὶ ἄνευ τούτων βελτίους γενέσθαι· ὅμως δὲ οὐκ ἄχρηστα κἀκεῖνά ἐστιν. ὡς γὰρ δι᾽ ἑρμηνέως συμβάλλομεν τὰ λεγόμενά ποτε, ὅμως μέν τοι γε οὐκ ἄχρηστον ἦν καὶ ἡμᾶς αὐτοὺς τὴν φωνὴν ἀκριβεστέραν ἔχειν, ἄν τι συνήκαμεν· οὕτω ἄνευ τούτων τῶν μαθημάτων οὐδὲν κωλύσει βελτίους γενέσθαι. πότερον οὐδὲν προέχουσιν

eſt, absque invidia id vobis ediſſeram. Rectè dicis, inquam ego. Quidnam verò jubet eos Genius accipere à Falſa Diſciplina? Ea quæ videntur eſſe utilia. Quæ verò ſunt iſta? Literæ, inquit, et aliæ diſciplinæ, quas etiam Plato ait, quaſi freni cujusdam vim habere apud adoleſcentes, ne ad alia diſtrahantur. Utrum verò neceſſe eſt hæc accipere, ſi quis ad Veram Diſciplinam venturus ſit; an non? Nulla quidem cogit neceſſitas, inquit; utilia nihilominus ſunt: at ut meliores evadamus, huc nihil iſta conferunt. Nihil ergo utilitatis hæc adferre ais, ut meliores homines evadant? Nihil. quippe et absque illis meliores fieri poſſunt: non tamen et ipſa ſunt inutilia. Quemadmodum enim per interpretem interdum ſermones conferimus, nec tamen inutile erat, exercitatiore nos eſſe linguâ, ſi quid intellexiſſemus: ſic quoque ſine his diſciplinis meliores fieri nihil impedit. Utrum verò his diſciplinis inſtructi

οὗτοι οἱ μαθηματικοὶ, πρὸς τὸ βελτίους γενέσθαι τῶν ἄλλων ἀνθρώπων; πῶς μέλλουσι παρέχειν, ἐπειδὰν φαίνωνται ἠπατημένοι περὶ ἀγαθῶν καὶ κακῶν, ὥσπερ οἱ ἄλλοι, καὶ ἔτι κατεχόμενοι ὑπὸ πάσης κακίας; οὐδὲν γὰρ κωλύει εἰδέναι μὲν γράμματα, καὶ κατέχειν τὰ μαθήματα πάντα, ὁμοίως δὲ μέθυσον καὶ ἀκρατῆ εἶναι, καὶ φιλάργυρον, καὶ ἄδικον, καὶ προδότην, καὶ τὸ πέρας, ἄφρονα. ἀμέλει πολλοὺς τοιούτους ἐστὶν ἰδεῖν. πῶς οὖν οὗτοι παρέχουσιν, ἔφη, εἰς τὸ βελτίους ἄνδρας γενέσθαι, ἕνεκα τούτων τῶν μαθημάτων; οὐδαμῶς φαίνεται ἐκ τούτου τοῦ λόγου. ἀλλὰ τί ἐστιν, ἔφην ἐγὼ, τὸ αἴτιον; ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ διατρίβουσιν, ὥσπερ ἐγγίζοντες πρὸς τὴν ἀληθινὴν παιδείαν. καὶ τί τοῦτο ὠφελεῖ αὐτοὺς, ἔφη; ὅταν πολλάκις ἐστὶν ἰδεῖν παραγιγνομένους, ἐκ τοῦ πρώτου περιβόλου, ἀπὸ τῆς ἀκρασίας, καὶ τῆς ἄλλης κακίας εἰς τὸν τρίτον περίβολον, πρὸς τὴν παιδείαν τὴν ἀληθινὴν, οἳ τούτους τοὺς μαθηματικοὺς παραλλάττουσιν· ὥς τε

nihilo potiore conditione ſunt, ut cæteris hominibus meliores fiant? Quî potiore conditione eſſe poſſint, cum eos de bonis et malis, æquè ac alios, deceptos eſſe adpareat, et ab omni pravitate adhuc detineri? Nihil enim vetat literas ſcire, et doctrinam omnem percepiſſe, æquè tamen ebrioſum, et incontinentem eſſe, et avarum, et injuſtum, et proditorem, et denique amentem. Cujusmodi ſanè multos videre eſt. Quomodo igitur, inquit, illorum potior conditio ſit, ut meliores viri evadant ob has diſciplinas? Ex hac quidem oratione id nullo modo fieri poſſe adparet. Sed quid cauſæ eſt? inquam ego. Quoniam in ſecundo ſepto tempus terunt, tanquam veræ Diſciplinæ adpropinquantes. Et quid hoc, inquit, eos juvat? Quando ſæpe videre eſt, ex primo ſepto, ab Incontinentia, et reliqua pravitate, ad veram Diſciplinam pervenientes, qui hos diſciplinis addictos prætereunt. Quî igitur

πῶς ἔτι προσέχουσιν; ἆρα ἢ ἀκινητότεροι, ἢ δυσμαθέστεροί εἰσι; πῶς, ἔφην, τοῦτο, ἐγώ; ὅτι οἱ ἐν τῷ δευτέρῳ περιβόλῳ, εἰ μηδὲν ἄλλο, προσποιοῦνταί γε ἐπίστασθαι, ἃ οὐκ οἴδασιν. ἕως δ' ἂν ἔχωσι ταύτην τὴν δόξαν, ἀκινήτους αὐτοὺς ἀνάγκη εἶναι, πρὸς τὸ ὁρμᾶν πρὸς τὴν ἀληθινὴν παιδείαν. εἶτα τὸ ἕτερον οὐχ ὁρᾷς, ὅτι καὶ αἱ δόξαι ἐκ τοῦ πρώτου περιβόλου εἰσπορεύονται πρὸς αὐτοὺς ὁμοίως. ὥστε οὐδὲν οὗτοι ἐκείνων βελτίους εἰσίν, ἐὰν μὴ καὶ τούτοις συνῇ μεταμέλεια, καὶ πεισθῶσιν, ὅτι οὐ παιδείαν ἔχουσιν, ἀλλὰ ψευδοπαιδείαν, δι' ἣν ἀπατῶνται. οὕτω δὲ διακείμενοι, οὐκ ἄν ποτε σωθεῖεν. καὶ ὑμεῖς τοίνυν, ὦ ξένοι, ἔφη, οὕτω ποιεῖτε, καὶ ἐνδιατρίβετε τοῖς λεγομένοις, μέχρις ἂν ἕξιν λαβεῖν. ἀλλὰ περὶ τῶν αὐτῶν πολλάκις δεῖ ἐπισκοπεῖν, καὶ μὴ διαλείπειν· τὰ δὲ ἄλλα πάρεργα ἡγήσασθαι. εἰ δὲ μή, οὐδὲν ὄφελος ἔσται, ὧν νῦν ἀκούετε. ποιήσομεν. τοῦτο δὲ ἐξήγησαι, πῶς οὐκ ἔστιν ἀγαθά, ὅσα λαμβάνουσιν οἱ ἄνθρωποι παρὰ τῆς τύχης; οἷον,

potiore conditione esse possint? Quare aut difficiliùs moventur, aut ægriùs addiscunt. Quomodo hoc? inquam ego. Quoniam qui sunt in secundo septo, si nihil aliud, saltem præ se ferunt, se ea scire, quæ nesciunt. Donec autem hanc opinionem retinent, necesse est eos moveri non posse, ut ad veram Disciplinam contendant. Deinde alterum illud non vides, similiter quoque Opiniones è primo septo ad eos ingredi? Quare hi nihilo illis sunt meliores, nisi quoque his adsit Pœnitentia, et persuadeatur, non Disciplinam se habere; sed Falsam Disciplinam, à qua seducantur. Dum autem ita sunt animati, non possint unquam servari. Et vos igitur, ô hospites, inquit, ita agite, et immoramini iis quæ dicuntur, donec habitum comparaveritis. Quin de iisdem sæpius considerationes sunt suscipiendæ, ac sine intermissione: cætera autem supervacanea sunt ducenda. sin minus, nulli usui erunt, quæ modò auditis. Faciemus. Hoc verò explica, quomodo bona non sint, quæ homines à Fortuna accipiunt? ut,

τὸ ζῆν, τὸ ὑγιαίνειν, τὸ πλουτεῖν, τὸ εὐδοξεῖν, τὸ τέκνα ἔχειν, τὸ νικᾶν, καὶ τὰ λοιπὰ, ὅσα τούτοις παραπλήσια· ἢ πάλιν τὰ ἐναντία, πῶς οὐκ ἔστι κακά; πάνυ γὰρ ἡμῖν παράδοξον, καὶ ἄπιστον δοκεῖ τὸ λεγόμενον. ἄγε τοίνυν, πειρῶ, ἔφη, ἀποκρίνασθαι τὸ φαινόμενον, περὶ ὧν ἄν σε ἐρωτῶ. ἀλλὰ ποιήσω τοῦτο, ἔφην ἐγώ. πότερον οὖν, κἂν κακῶς τις ζῇ, ἀγαθὸν ἐκείνῳ; οὔ μοι δοκεῖ, ἀλλὰ κακὸν, ἔφην ἐγώ. πῶς οὖν ἀγαθόν ἐστι τὸ ζῆν, ἔφη, εἴ περ τούτῳ ἐστὶ κακόν; ὅτι τοῖς μὲν κακῶς ζῶσι, κακόν μοι δοκεῖ εἶναι· τοῖς δὲ καλῶς, ἀγαθόν. καὶ κακὸν ἄρα λέγεις τὸ ζῆν, καὶ ἀγαθὸν εἶναι; ἔγωγε. μὴ οὖν ἀπιθάνως λέγε. ἀδύνατον γὰρ, τὸ αὐτὸ πρᾶγμα, καὶ κακὸν, καὶ ἀγαθὸν εἶναι. οὕτω μὲν γὰρ καὶ ὠφέλιμον, καὶ βλαβερὸν ἂν εἴη· καὶ αἱρετὸν, καὶ φευκτὸν ἅμα ἀεί. ἀπίθανον μέν. ἀλλὰ πῶς, εἰ τὸ κακῶς ζῆν, ᾧ ἂν ὑπάρχοι, κακόν τι ὑπάρχει αὐτῷ, οὐ κακὸν αὐτὸ τὸ ζῆν ἐστιν; ἀλλ' οὐ τὸ αὐτὸ, ἔφη, ὑπάρχει τὸ ζῆν τῷ κακῶς ζῆν. ἢ οὔ σοι φαίνεται; ἀμέλει οὐδ' ἐμοὶ δοκεῖ τὰ αὐ-

vita, valetudo, divitiæ, gloria, liberi, victoria, et cætera, quæ his similia sunt: aut rursus contraria, quomodo non sint mala? Planè enim mirabile nobis, et incredibile videtur quod dicis. Age igitur, da operam, inquit, ut respondeas, quid videatur de iis, quæ tibi sum propositurus. At faciam hoc, inquam ego. Numquid igitur, quamvis malè quis vivat, vivere ipsi bonum est? Non videtur mihi, sed malum, inquam ego. Quomodo igitur vivere bonum est, inquit, si huic est malum? Quare malè quidem viventibus, malum mihi esse videtur; at bene viventibus, bonum. Ergóne et malum esse dicis vivere, et bonum? Ego certè. Noli absurda proferre. Fieri enim nequit, ut eadem res et mala sit, et bona. Ita enim et utilis, et perniciosa simul fuerit; simul expetenda, et fugienda. quod est absurdum. Sed qua ratione, si male vivere, cui quidem contigerit, malum quid ipsi est, non ipsum vivere malum est? At non idem, inquit, est, vivere, et malè vivere. an non tibi videtur? Profectò nec mihi idem esse vide-

τὸ ἔιναι. τὸ τοίνυν ζῆν ὀυ κακόν ἐστιν. ἐπεὶ ἐι ἦν κακὸν, τοῖς ζῶσι καλῶς κακὸν δὴ ὑπῆρχεν, ἐπεὶ τὸ ζῆν αὐτοῖς ὑπῆρχεν· ὅπερ ἐστὶ κακόν. ἀληθῆ μοι δοκεῖς λέγειν. ἐπεὶ τοίνυν ἀμφοτέροις συμβαίνει τὸ ζῆν, καὶ τοῖς κακῶς ζῶσι, καὶ τοῖς καλῶς· ὀυκ ἂν ἔιη ὄυτε ἀγαθὸν ἔιναι τὸ ζῆν, ὄυτε κακόν· ὥς περ ὀυδὲ τὸ τέμνειν, καὶ καίειν, ἐν τοῖς ἀῤῥωστοῦσίν ἐστι νοσερὸν, καὶ ὑγιεινόν. ὀυκοῦν ὄυτω καὶ ἐπὶ τοῦ ζῆν ἐστι ταῦτα. σὺ τοίνυν ὄυτω θεώρησον, πότερον ἂν βούλοιο, ζῆν κακῶς, ἢ ἀποθανεῖν καλῶς καὶ ἀνδρείως; ἀποθανεῖν ἔγωγε καλῶς. ὀυκοῦν ὀυδὲ τὸ ἀποθανεῖν κακόν ἐστιν, ἔιπερ αἱρετώτερόν ἐστι πολλάκις τὸ ἀποθανεῖν τοῦ ζῆν. ἔστι ταῦτα. ὀυκοῦν ὁ αὐτὸς λόγος καὶ περὶ τοῦ ὑγιαίνειν, καὶ νοσεῖν. πολλάκις γὰρ ὀυ συμφέρει ὑγιαίνειν, ἀλλὰ τὀυναντίον, ὅταν ᾗ περίστασις τοιαύτη. ἀληθῆ λέγεις. ἄγε δὴ, σκεψώμεθα καὶ περὶ τοῦ πλουτεῖν ὄυτως, ἔιγε θεωρεῖν ἐστιν, ὡς πολλάκις ἐστὶν ἰδεῖν ὑπάρχοντά τινι πλοῦτον, κακῶς δὲ ζῶντα τοῦτον καὶ ἀθλίως. νὴ δία, πολλούς γε.

tur. Ergo vivere non eſt malum: quoniam ſi malum fòret, viventibus bene, malum exiſteret, quoniam viverent; id quod malum eſt. Vera mihi dicere vidéris. Quoniam igitur utriſque accidit vivere, et malè viventibus, et bene; nec bonum fuerit vivere, nec malum: ſicut nec ſecare, et urere, in ægrotis eſt morboſum, aut ſalubre. Sic ergo et res ſe habet, cum, an vivere bonum ſit, aut malum, quæritur. Tu verò ita hæc conſidera, utrum malis; vivere malè, an bene et fortiter mori? Mori equidem bene. Ergo nec mori malum eſt, ſiquidem ſæpe magis expetendum eſt mori, quàm vivere. Ita eſt. Idem dicendum eſt, cùm quæritur, num bonum ſit valere; et malum, ægrotare. Sæpe enim non conducit valere, ſed contrà ægrotare, cum ita caſus tulerit. Vera dicis. Age verò, de divitiis eodem modo inquiramus, ſi id ſpectare poſſumus: uti ſæpe videre eſt, aliquem divitiis adfluentem, malè itidem et miſerè vivere. Per Jovem, multos.

οὐκοῦν οὐδὲν τούτοις ὁ πλοῦτος βοηθεῖ εἰς τὸ ζῆν καλῶς; οὐ φαίνεται. αὐτοὶ γὰρ φαῦλοί εἰσιν. οὐκοῦν τὸ σπουδαίους εἶναι οὐχ ὁ πλοῦτος ποιεῖ, ἀλλὰ ἡ παιδεία. εἰκός γε. ἐκ τούτου ἄρα τοῦ λόγου, ποῦ ὁ πλοῦτος ἀγαθόν ἐστιν, εἴ περ οὐ βοηθεῖ τοῖς ἔχουσιν αὐτὸν, εἰς τὸ βελτίους εἶναι; φαίνεται. οὕτως οὐδὲ συμφέρει ἄρα ἐνίοις πλουτεῖν, ὅταν μὴ ἐπίστανται τῷ πλούτῳ χρῆσθαι. δοκεῖ μοι. πῶς οὖν τοῦτο ἄν τις κρινεῖ ἀγαθὸν εἶναι, ὃ πολλάκις οὐ συμφέρει ὑπάρχειν; οὐδαμῶς. οὐκοῦν εἰ μέν τις ἐπίσταται πλούτῳ χρῆσθαι καλῶς καὶ ἐμπείρως, εὖ βιώσεται· εἰ δὲ μὴ, κακῶς. ἀληθέστατά μοι δοκεῖς τοῦτο λέγειν. καὶ τὸ σύνολον δὲ, τὸ τιμᾶν ταῦτα, ὡς ἀγαθὰ ὄντα, ἢ ἀτιμάζειν, ὡς κακὰ, τοῦτό ἐστι τὸ ταράττον τοὺς ἀνθρώπους, καὶ βλάπτον, ὅταν τιμῶσί τε αὐτὰ, καὶ οἴωνται διὰ τούτων μόνων εὐδαιμονεῖν· καὶ πάνθ' ἑπομένως πράττουσιν ἕνεκα τούτων, καὶ τὰ ἀσεβέστατα δοκοῦντα εἶναι. ταῦτα δὲ πάσχουσι διὰ τὴν τοῦ ἀγαθοῦ ἄγνοιαν.

Ergo nihil ipſis divitiæ ad bene vivendum prosunt? Non videtur. Improbi enim ſunt. Quare non divitiæ, ſed diſciplina, ut probi ſimus, efficit. Probabile hoc eſt. Hoc igitur argumento quî divitiæ bonum ſint, ſiquidem poſſidentibus ipſas eò auxilii nihil adferunt, ut meliores fiant? Adparet. Sic ergo nec conducit quibusdam divitiis adfluere, cum iis uti neſciunt. Id mihi quoque videtur. Quomodo igitur id quis bonum eſſe judicabit, quod ſæpe ne exiſtere quidem conducit? Nullo modo. Quare ſi quis divitiis bene et ſolerter uti norit, bene vivet: ſin minus, malè. Veriſſimè hoc mihi dicere videris. Atque ut omnia breviter comprehendam, hæc in pretio habere, ut quæ bona ſint; aut contemnere, ut quæ mala, hoc eſt quod turbat homines, et damno adficit: cum iſta colunt, et iis ſolis ſe felices eſſe putant; et conſequenter horum cauſâ omnia agunt, etiam quæ impiiſſima eſſe videntur. Hæc autem propter boni ignorationem ipſis uſu veniunt.

In Ludovici Odaxij versione, quæ ex integriore codice prodijt, fini hæc adjuncta leguntur.

Illud enim ignorant, bonum ex malo fieri nequaquam. Multos autem videre licet in divitiarum possessionem ex pessimis ac turpissimis facinoribus devenisse: veluti, proditionibus, deprædationibus, homicidiis, calumniis, rapinis, aliisque compluribus, et pravis operibus. Ita res est. Si igitur, ut par est, ex malo bonum nullum provenit; divitiæ verò ex malis facinoribus proveniunt; divitias nequaquam bonum esse necesse est. Sic ex isto sermone contingit. Ceterum ne sapientia quidem, et justitia, ex malis operibus acquiri potest: neque itidem injustitia, et insipientia, ex bonis. Siquidem ipsa eadem simul consistere non possunt. Divitias verò, et gloriam, et victorias, et reliqua id genus multa, cum pravitate cuiquam contingere nihil prohibet. Quapropter hæc neque bona, neque mala censeantur. Ceterum sapientia duntaxat bonum: insipientia verò, malum. Rectè, inquam, et sufficienter mihi dicere videris.

ΠΡΟΔΙΚΟΣ

περὶ τοῦ ἡρακλέους.

ἐκ τοῦ

τῶν ξενοφῶντος

ἀπομνημονευμάτων

β̄.

PRODICUS

de Herculę.

ex

Xenophontis

Memorabilium

Libro II.do

Joa. Leunclavio interpretę.

ΠΡΟ'ΔΙΚΟΣ

περὶ τοῦ ἡρακλέους.

Ησὶ (πρόδικος,) ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι, ἤδη αὐτοκράτορες γιγνόμενοι, δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας, ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι, ἀποροῦντα ὁπότεραν τῶν ὁδῶν τράπηται. καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προϊέναι μεγάλας· καὶ τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν, καὶ ἐλευθέριον, φύσει κεκοσμημένην, τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ. τὴν δ' ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τὲ καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τὲ καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι· τὸ δὲ σχῆμα, ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι· τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα· ἐσθῆτα δὲ, ἐξ

PRODICUS
de
Hercule.

HErculem (Prodicus) ait, posteaquam exactâ pueritiâ pubertatis iniret cursum, in quâ jam adulescentes sui juris fiunt, ac indicia præbent, Virtutísne viâ perrecturi sint ad vitam, an verò Ignaviæ, egressum in tranquillum locum ibidem consedisse; ambigentem, ad utram se viam converteret. Tum mulieres duas, easque grandi staturâ, esse visas ad ipsum accedere; quarum altera esset eleganti ac liberali vultu prædita, cujusque corpus à natura munditie ornatum esset, oculi verecundiâ, gestus modestiâ, veste candidâ: altera educatione reddita obesa et tenera, sic ornata, colorem quod adtineret, ut candidior ac rubicundior videretur, quàm esset; formâ procerior visa, quàm esset à natura; oculis apertis; veste tali, ex

ἧς ἂν μάλιστα ὥρα διαλάμποι· κατασκοπεῖσθαι δ' ἅμα ἑαυτήν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται. πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν. ὡς δ' ἐγένετο πλησιέστερον τοῦ ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον· τὴν δ' ἑτέραν, φθάσαι βουλομένην, προσδραμεῖν τῷ ἡρακλεῖ, καὶ εἰπεῖν. ὁρῶ σε, ὦ ἡράκλεις, ἀποροῦντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃς, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσῃ· τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ. πρῶτον μὲν γὰρ οὐ πολέμων, οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος δὴ ἔσῃ, τί ἂν κεχαρισμένον ἢ σιτίον, ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν, ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων ὀσφραινόμενος, ἢ ἁπτόμενος ἡσθείης, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις. ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως, ἀφ' ὧν ἔσται ταῦτα,

qua venuſtas maximè pelluceret. Eandem ſæpius ſe contemplatam eſſe, ac num aliquis ipſam ſpectaret, conſideraſſe; ſæpenumero ad umbram quoque ſuam reſpexiſſe. Poſteaquam ad Herculem veniſſent propius, inceſſiſſe illam, de qua prius diximus, eodem modo: alteram verò, quæ vellet hanc antevertere, curſu ad Herculem ſe contuliſſe, ac verbis his eum compellaſſe. Video te, mi Hercules, ambigere, quânam viâ te ad vitam conferas. Quapropter ſi me tibi amicam adjunxeris, ducam te ad iter jucundiſſimum ac facillimum; ut eorum, quæ ſuavia ſunt, nihil non guſtes, ſimulque omnis expertem moleſtiæ vitam exigas. Nam primùm tibi neque bella, neque negotia curanda erunt; ſed diſpicies, quemnam tibi gratum vel cibum, vel potum invenire poſſis: quid vel adſpectu, vel auditu, vel odoratu, vel tactu, te delectare poſſit; quibus amoribus fruens, plurimùm gaudeas; quo pacto quàm molliſſime dormias; quî absque labore minimo poſſis hæc omnia conſequi. Quod ſi aliquando illa defectura, de quibus hæc percipies, ſuſpicio ſit;

ὀυ φόβος, μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι· ἀλλ᾽ οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσῃ, ὀυδενὸς ἀπεχόμενος, ὅθεν ἂν δυνατὸν ᾖ τὶ κερδᾶναι. πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἔγωγε παρέχω. καὶ ὁ ἡρακλῆς ἀκούσας ταῦτα· ὦ γύναι, ἔφη, ὄνομα δέ σοι τί ἐστιν; ἡ δὲ, οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με ἐυδαιμονίαν· οἱ δὲ μισοῦντές με, ὑποκοριζόμενοι ὀνομάζουσί με κακίαν. καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπεν· καὶ ἐγὼ ἥκω πρός σε, ὦ ἡράκλεις, ἐιδυῖα τοὺς γεννήσαντάς σε, καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα· ἐξ ὧν ἐλπίζω, ἐι τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ᾽ ἂν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν, καὶ ἐπ᾽ ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. ὀυκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ᾽ ἧπερ οἱ θεοὶ διέθεσαν, τὰ ὄντα διηγήσομαι μετ᾽ ἀληθείας. τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν ὀυδὲν, ἄνευ πόνου καὶ ἐπι-

nihil eſt quod metuas, ne eò te deducam, ut hæc tibi laborando, variiſque tum animi tum corporis ærumnis perferendis, paranda ſint; ſed aliorum laboribus tu fruéris, nec ab ulla re abſtinebis, de qua capi aliquid lucri poſſit. Nam equidem iis, qui mea utuntur conſuetudine, poteſtatem facio, ut undecunque poſſint, utilitatem capiant. Hæc quum audiſſet Hercules; Quod eſt, inquit, tibi nomen mulier? Illa verò; Amici mei, ait, Felicitatem me adpellant: at qui oderunt obtrectando, vocant Ignaviam. Quum interim altera mulier acceſſiſſet; Ego quoque, inquit, ad te venio, mi Hercules, quæ et parentes tuos novi, et quæ tua eſſet natura, in inſtitutione animadverti. De quibus equidem in eam ſpem venio, ut ſi ea, quæ ad me ducit, viâ inceſſeris; egregie tu præclaras et honeſtas res geras, atque ego longè honoratior, bonorumque gratiâ illuſtrior videar. Neque verò te decipiam voluptatis procemiis, ſed ex inſtituto divino res ipſas verè commemorabo. Nam quæcunque bona ſunt ac præclara, eorum ni-

μελείας θεοὶ διδόασιν ἀνθρώποις· ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς· εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον· εἴτε ὑπὸ τῆς ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν ἑλλάδα πειρατέον εὖ ποιεῖν· εἴτε τὴν γῆν φέρειν σοι βούλει καρποὺς ἀφθόνους, τὴν γῆν θεραπευτέον· εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον· εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι, καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν, καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ ὅπως αὐταῖς δεῖ χρῆσθαι, ἀσκητέον. εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα, καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι. καὶ ἡ κακία ὑπολαβοῦσα εἶπεν, ὥς φησι πρόδικος· ἐννοεῖς ὦ ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν

hil ſine labore ac ſtudio Dii hominibus largiti ſunt: omninoq́ue ſive Deos eſſe propitios tibi vis, colendi ſunt tibi: ſeu ab amicis vis diligi, beneficiis amici ſunt adficiendi: ſive ab urbe aliqua vis honorem conſequi, neceſſe eſt aliquid illi utilitatis adferas: ſeu apud univerſam Græciam virtutis nomine vis eſſe in admiratione, de hac ut bene promereare, conandum erit: ſive terram tibi fructus uberes ferre vis, colenda erit: ſeu à jumentis opes tibi quærendas putas, neceſſe eſt jumentorum curam habeas: ſive bello res tuas amplificare deſideras, eamq́ue poteſtatem conſequi vis, ut et amicos in libertatem vindices, et hoſtes tibi ſubjicias, non ſolùm artes bellicæ tibi ab earum peritis diſcendæ ſunt, ſed etiam percipiendum exercitatione, quo pacto ſit iis utendum. Denique ſi etiam corpore vis eſſe robuſtus, neceſſe eſt corpus adſuefacias ad parendum animo, perq́ue labores ac ſudorem exerceas. Tum ejus ſermonem excipiens Ignavia, quemadmodum Prodicus ait: Vidésne, inquit, mi Hercules, quàm longam ac difficilem viam

ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥαδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε. καὶ ἡ ἀρετὴ εἶπεν· ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα, μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι, πάντων ἐμπίπλασαι. πρὶν μὲν πεινῆν, ἐσθίουσα· πρὶν δὲ διψῆν, πίνουσα. καὶ ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη· ἵνα δὲ ἡδέως πίνῃς, οἴνους τε πολυτελεῖς παρασκευάζῃ, καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς. ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακὰς, ἀλλὰ καὶ τὰς κλίνας, καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζεις. οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ,τι ποιῇς, ὕπνου ἐπιθυμεῖς. τὰ δ᾽ ἀφροδίσια πρὸ τοῦ δεῖσθαι ἀναγκάζεις, πάντα μηχανωμένη, καὶ γυναιξὶ καὶ ἀνδράσι χρωμένη. οὕτω γὰρ παιδεύεις τοὺς σαυτῆς φίλους· τῆς μὲν νυκτὸς ὑβρίζουσα, τῆς δ᾽ ἡμέρας τὸ χρησιμώτατον κατακοιμίζουσα. ἀθάνατος δὲ οὖσα, ἐκ θεῶν μὲν

ad delectationes hæc tibi mulier exponat? ego verò facili breviq́ue ad beatitatem itinere te ducam. Et Virtus: Misera verò tu, ait, quid boni habes? quam delectationem nôsti, quum nihil horum causſâ facere velis? quum jucundorum adpetitum non expectes, sed priùs etiam quàm adpetas, omnibus repleare? Priusquam esurias, comedis: priusquam sitias, bibis: atque ut suaviter comedas, obsoniorum structores excogitas: ut suaviter bibas, magno sumtu vina tibi comparas, ac per æstatem nivis quærendæ causſâ circumcursitas: ut suaviter somnum capias, non stragula tantùm mollia, sed etiam lectulos, lectulorumq́ue fulcra paras. Non enim propter labores somnum adpetis, sed quia nihil est tibi quod agas. Venerem verò priùs, quàm eâ indigeas, omni conatu et arte impellis, et tam feminarum ad hoc operâ, quàm virorum uteris. Sic enim amicos tuos instituis, noctu stupris polluens; et utilissima diei parte somno obruens. Quumq́ue sis immortalis, à diis quidem

ἀπέρριψαι· ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ· τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου ἑαυτῆς, ἀνήκοος εἶ· καὶ τοῦ πάντων ἡδίστου θεάματος, ἀθέατος. οὐδὲν γὰρ πώποτε σαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ' ἄν σοι λεγούσῃ τι πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἱ νέοι μὲν ὄντες, τοῖς σώμασιν ἀδύνατοί εἰσι· πρεσβύτεροι δὲ γενόμενοι, ταῖς ψυχαῖς ἀνόητοι. ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος τρεφόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες· τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι· τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι. ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς. ἔργον δὲ καλὸν, οὔτε θεῖον, οὔτε ἀνθρώπινον, χωρὶς ἐμοῦ γίγνεται. τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς, καὶ παρὰ ἀνθρώποις, οἷς προσήκει. ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις· εὐμε-

rejecta es, ab honestis autem hominibus probro adficeris. Jam quod omnium auditu jucundissimum est, tuam ipsius laudem nullam audis; nec quod spectaculum jucundissimum est, spectare potes. Quippe nullum unquam honestum facinus tuum vidisti. Quis verò tibi aliquid dicenti fidem habeat? Quis rei alicujus egenti quidquam suppeditet? Quis mentis compos tuæ sodalitatis cœtu contineri audeat? quum tui, si juvenes sint, corporibus sint debiles; provectiores facti, animis desipiant. Dum juvenilis ætas adest, absque labore nitidi victitant; cum labore squallidi, senectam ætatem transeunt: anteactorum eos pudet, agendorum onus haud sustinent: jucundis in juventute cursu quasi peragratis, in senectutem molesta reservant. Ego verò cum diis versor, cum hominibus honestis versor: nec ullum præclarum facinus, sive divinum, seu humanum, absque me perpetratur. Maximè omnium à diis, et hominibus quibus par est, honoribus adficior: artificibus cara laborum socia, fida domorum custos heris, opitu-

νὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων· ἀρίστη δὲ φιλίας κοινωνός. ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις. ἀνέχονται γὰρ, ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. ὕπνος δ᾽ αὐτοῖς πάρεστιν ἡδίων, ἢ τοῖς ἀμόχθοις. καὶ οὔτε ἀπολιπόντες αὐτὸν ἄχθονται, οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται. καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται· εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες. δι᾽ ἐμὲ φίλοι μὲν θεοῖς ὄντες· ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. ὅταν δ᾽ ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν ἡράκλεις, ἔξεστι διαπονησαμένῳ, τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι.

latrix benigna ſervis, in laboribus pace curandis adjutrix egregia, conſtans in negotiis bellicis auxiliatrix, amicitiæ conſors optima. Perceptio cibi et potûs ut amicis meis delectationem adfert, ſic elaborati nihil habet. Exſpectant enim, donec adpetant. Iidem ſomnum capiunt ſuaviorem, quàm otioſi; ac neque excitatos ſe moleſtè ferunt, neque ſomni cauſſa, quæ agenda neceſſario ſunt, omittunt. Juvenes ſenum laudibus gaudent, ſenes juvenum honoribus delectantur. Iidem rerum olim geſtarum memoriam jucundè repetunt, nec minori cum voluptate præſentia curant, quum quidem meâ cauſſâ diis accepti ſint, amicis cari, magno apud ſuam quisque patriam in pretio. Denique quum finis à fato præſtitutus adeſt, non inhonorati jacent, oblivioni traditi: ſed ita florent, ut cum memoria ſui poſteritatis æternæ laudibus fruantur, perpetuâ ſui memoriâ celebrati florent. Hujusmodi, mi Hercules, parentum ſuboles fortium, laboribus exanclatis; licet eâ felicitate potiaris, quæ ab omnibus tantopere prædicatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΗ.

Ἱπποκράτης Δαμαγήτῳ χαίρειν.

ΤΟῦτ᾽ ἐκεῖνο, Δαμάγητε, ὅπερ εἰκάζομεν· οὐ παρέκοπτε Δημόκριτος, ἀλλὰ πάντας ὑπερεφρόνεε. καὶ ἡμᾶς ἐσωφρόνιζε, καὶ δι᾽ ἡμέων πάντας ἀνθρώπους. ἐξέπεμψα δέ σοι, φιλότης, ὡς ἀληθέως τὴν ἀσκληπιάδα νῆα, ἣν προσέθεν μετὰ τοῦ ἁλίου ἐπίσημον καὶ ὑγιῆ. ἐπεὶ κατὰ δαίμονα τῷ ὄντι ἱστιοδρόμηκε, καὶ ἐκείνῃ τῇ ἡμέρῃ κατέπλευσεν εἰς ἄβδηρα, ἧπερ αὐτέοις ἐπεστάλκειν ἀφίξεσθαι. πάντας οὖν ἀολλέας πρὸ τῶν πυλῶν εὕρομεν, ὡς εἰκὸς, ἡμέας περιμένοντας. οὐκ ἄνδρας μόνους, ἀλλὰ καὶ γυναῖκας, ἔτι δὲ καὶ πρεσβύτας καὶ παιδία, νὴ τοὺς θεοὺς, κατηφέα, καὶ τὰ νήπια. οὗτοι μέν τοι ὧδε εἶχον, ὡς ἐπὶ μαινομένῳ τῷ Δημοκρίτῳ. ὁ δὲ μετ᾽ ἀκριβείης τότε

HIPPOCRATIS EPISTOLA.

Hippocrates Damageto salutem dicit.

HOc ipſum eſt, Damagete, quod conjeceramus. non inſanit Democritus, ſed omnes ſapientiâ ſuperat, & nos ſapientiores reddidit, & per nos omnes homines. Remiſi autem tibi, amice, revera Aſclepiadæ navem, cui poſt Solis inſigne etiam Sanitatis addas. quoniam divino certè adflatu velis uſa, illo die Abderam adpulſa eſt, quo me venturum ipſis promiſeram. Omnes igitur ante portas congregatos invenimus, quod nos, ut veriſimile eſt, exſpectarent: non viros tantùm, ſed & mulieres; quin etiam ſenes, & pueros, Deos teſtor, mœſtos, & infantes. Hîc illi detinebantur, tanquam inſanientis Democriti cauſâ, qui ſummâ tunc cum accuratione

ὑπερεφιλοσόφεεν. ἐπεὶ δέ με εἶδον, ἔδοξάν που σμικρὸν ἐφ' ἑωυτῶν γεγονέναι. καὶ χρηστὰς ἐλπίδας ἐποιέοντο. ὁ δὲ Φιλοποίμην ἄγειν μὲ ἐπὶ τὴν ξενίην ὥρμητο. κἀκείνοισι ξυνεδόκεε τοῦτο. ἐγὼ δὲ, ὦ ἄνδρες, ἔφην, ἀβδηρεῖται, οὐδέν ἐστί μοι πρὸ ἔργου, ἢ δημόκριτον θεήσασθαι. οἱ δὲ ἐπῄνεον ἀκούοντες, καὶ ἥσθησαν, ἦγόν τέ με ξυντόμως διὰ τῆς ἀγορῆς, οἱ μὲν, ἑπόμενοι· οἱ δὲ, προθέοντες, ἑτέρωθεν ἕτεροι· σῶζε, λέγοντες, βοήθει, θεράπευσον. κἀγὼ παρῄνεον θαῤῥεῖν. ὡς τάχα μὲν οὐδενὸς ἐόντος κακοῦ, τίσυνος ἐτησίῃσιν ὥρῃσιν· εἰ δ' ἄρα καί τινος βραχέος, εὐδιορθώτου. καὶ ἅμα ταῦτα λέγων, ᾔειν. οὐδὲ γὰρ πόῤῥω ἦν ἡ οἰκίη, μᾶλλον δ' οὐδ' ἡ πόλις ὅλη. παρήειμεν οὖν, πλησίον γὰρ τοῦ τείχεος ἐτύγχανεν. καὶ ἀνάγουσί με ἡσυχῇ. ἔπειτα κατόπιν τοῦ πύργου, βουνὸς ἦν τις ὑψηλὸς, μακρῇσι καὶ δασείῃσιν αἰγείροισιν ἐπίσκιος. ἔνθεν ἑωρᾶτο τὰ τοῦ δημοκρίτου καταγώγια. καὶ αὐτὸς ὁ δημόκριτος καθῆστο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλωτάτῃ πλατανίσῳ,

philoſophabatur. Ubi verò me videbant, parum ad ſe redire videbantur, & ſpem bonam habere incipiebant. Philopœmen autem me ad hoſpitium ducere feſtinabat: quod & illis placuit. Ego autem, ô viri Abderitæ, inquam, nihil mihi antiquius, quàm ut Democritum videam. Quam meam erga ipſum voluntatem cum audirent, laudarunt, ac cum gaudio per forum ſine mora me duxerunt, alii ſequentes, præcurrentes alii, ab utroque latere magna turba, dicentes; Serva, juva, cura. Ego verò bono animo eſſe jubebam; quod fortaſſe nullo malo adfligeretur, anni tempore perſuaſus: ſin parvò aliquo, facile id corrigi poſſe. Simul hæc dicens pergebam. Nec enim domus, ſeu potius urbs tota, longe aberat. Acceſſimus igitur, quod prope mœnia ſita eſſet. Huc me ſine ſtrepitu adducunt. Porrò poſt turrim collis quidam excelſus erat, proceris ac denſis populis umbroſus; unde Democriti diverſoria conſpiciebantur. Atque ipſe Democritus ſub denſa quadam, & valde humili platano ſolus ſedebat, craſſâ tunicâ tectus, excalceatus,

ἐν ἐξωμίδι παχείῃ, μοῦνος, ἀνήλιπος, ἐπὶ λιθίνῳ θώκῳ, ὠχριακὼς πάνυ, καὶ λιπόσαρκος, κουρείων τὰ γένεια. παρ' αὐτὸν δ' ἐπὶ δεξιῆς, λεπτόῤῥυτον ὕδωρ κατὰ πρηνοῦς τοῦ λόφου ἠρεμέως ἐκελάρυζεν. ἦν δέ τι τέμενος ὑπὲρ ἐκεῖνον τὸν λόφον, ὡς ἐν ὑπονοίῃ κατεικάζοντι, νυμφέων ἱδρυμένον, αὐτοφύτοισιν ἐπηρεφὲς ἀμπέλοισιν. ὁ δ' εἶχεν ἐν εὐκοσμίῃ πολλῇ ἐπὶ τοῖν γουνάτοιν βιβλίον. καὶ ἕτερα δέ τινα, ἐξ ἀμφοῖν τοῖν μεροῖν αὐτέω παρεβέβλητο. σεσώρευτο δὲ καὶ ζῶα συχνὰ, ἀνατετμημένα δι' ὅλων. ὁ δὲ ὁτὲ μὲν ξυντόνως ἔγραφεν ἐγκείμενος· ὁτὲ δὲ, ἠρέμει πάμπολύ τι ἐπέχων, καὶ ἐν ἑωυτῷ μερμηρίζων. εἶτα μετ' οὐ πολὺ τουτέων ἐρδομένων, ἐξαναστὰς περιεπάτεε. καὶ τὰ σπλάγχνα τῶν ζώων ἐπεσκόπεε. καὶ καταθεὶς αὐτὰ μετελθὼν, πάλιν ἐκαθέζετο. οἱ δὲ ἀβδηρίται περιεστῶτές με κατηφέες, καὶ οὐ πόῤῥω τὰς ὄψεις δακρύων ἔχοντες, φασίν· ὁρῇς μέν τοι τὸν τοῦ δημοκρίτου βίον, ὦ ἱπποκράτες, ὡς μέμηνεν, καὶ οὔτε ὅ,τι θέλει οἶδεν, οὔτε ὅ,τι ἔρδει. καί τις

in lapidea ſede, pallidus admodum, ac macie confectus, genis barbâ horridis. Propter ipſum tenui rivulo, per declivem collem placide defluens aqua, ſtrepebat. Porrò in ipſo clivi vertice lucus quidam erat, ut ipſi ſuſpicantur, à Nymphis ædificatus, ſponte natis racemis opacus. Ille autem decenter admodum librum ſuper genua tenebat: & alii quidam ex utraque ipſius parte projecti jacebant. animalia item multa coacervata erant, membratim diſſecta. Et interdum magnâ animi contentione ſcribebat; interdum diutine ſe reprimens, et apud ſe deliberans, quieſcebat. Paulò pòſt peractis iis, ſurgens inambulabat, & animalium viſcera inſpiciebat: quæ ubi depoſuiſſet, regreſſus rurſus ſedebat. Abderitæ autem mœſto vultu me circumſtantes, & vix à lacrymis ſibi temperantes: Enimvero vides, inquiunt, ô Hippocrates, vitam Democriti, ut inſaniat, qui quod velit, aut agat, non reperit. Atque eorum

αὐτέων ἔπι μᾶλλον ἐνδείξασθαι βουλόμενος τὴν μανίην αὐτοῦ, ὀξὺ ἀνεκώκυσεν, ἴκελον γυναικὶ ἐπὶ θανάτῳ τέκνου ὀλοφυρομένῃ. εἶτ' ἀνῴμωξεν πάλιν ὑποκρινόμενος παροδίτην ἄλλος, ὀλέσαντά τι ὧν διεκόμιζεν. καὶ ὁ δημόκριτος ὑπακούων, τὰ μὲν, ἐμειδία· τὰ δὲ, ἐξεγέλα. οὐκ ἔτ' οὐδὲν γράφων. τὴν δὲ κεφαλὴν θαμινὰ ἐπέσειεν. ἐγὼ δὲ, ὑμεῖς μὲν, ἔφην, ὦ ἀβδηρῖται, αὐτόθι μείνατε. ἐγγυτέρω δ' αὐτὸς καὶ λόγου καὶ σώματος τἀνδρὸς γενηθεὶς, ἰδών τε καὶ ἀκούσας, εἴσομαι τοῦ πάθεος τὴν ἀληθείην. καὶ ταῦτ' εἰπὼν, κατέβαινον ἡσυχῆ. ἦν δὲ ὀξὺ καὶ ἐπίφορον ἐκεῖνο τὸ χωρίον. μόλις δ' οὖν διαστηριζόμενος διῆλθον. ἐπεὶ δὲ ἐπλησίαζον, ἔτυχε τότε ἐπελθὸν αὐτέῳ ὅ,τιδήποτε γράφειν ἐνθουσιωδῶς, καὶ μεθ' ὁρμῆς. εἱστήκειν οὖν αὐτόθι περιμένων αὐτέου τὸν καιρὸν τῆς ἀναπαύσιος. ὁ δὲ μετὰ μικρὸν τῆς φορῆς λήξας τοῦ γράφειν, ἀνέβλεψέ τε εἰς ἐμὲ προσιόντα, καί φησι· χαῖρε ξεῖνε. κἀγώ· πολλά γε καὶ σὺ δημόκριτε, ἀνδρῶν σοφώτατε. ὁ δὲ, αἰδεσθεὶς οἶ-

aliquis insaniam ipsius clarius ostendere cupiens, acutâ voce, mulieris instar filii mortem deplorantis, ululabat. Deinde alius gemitus edebat, viatorem repræsentans, qui earum rerum, quas portabat, aliquid perdidisset. Hæc cùm Democritus subauscultaret, jam ridebat, jam cachinnabatur; nihil ampliùs scribens. non raró etiam caput concutiebat. Tum ego, vos, inquam, ô Abderitæ, hîc manete: ipse autem, cùm ad sermonem ac corpus hujus viri propius accessero, videns ipsum, & audiens, morbi veritatem cognoscam. Atque his dictis, absque strepitu descendebam: erat autem acutus, & præceps ille locus. Vix igitur gressum firmans eò transii. Ubi verò adpropinquassem, forte aliquid in mentem ipsi venerat, quod intentissimo studio ac impetu scriberet. Substiti igitur, inibi expectans tantisper dum quiesceret. Is verò, ubi pauló pòst scribendi contentionem remisisset, in me accedentem sublatis oculis; Salve hospes, inquit. Et ego; Tu quoque plurimùm, Democrite, virorum sapientissime. Ille autem, verecundans

μαι, ὅτι οὐκ ὀνομαστὶ προσεῖπέ με· σὲ δὲ, ἔφη, τίνα καλέομεν; ἀγνοίη γὰρ τοῦ σοῦ ὀνόματος, ἦν πρόφασις τῆς τοῦ ξείνου προσηγορίας. ἱπποκράτης, ἔφην, ἔμοιγε τοὔνομα, ὁ ἰητρός. ὁ δὲ εἶπεν· ἡ τῶν ἀσκληπιαδῶν εὐγένεια; πολύ γέ σου τὸ κλέος τῆς ἐν ἰητρικῇ σοφίης πεφοίτηκεν, καὶ ἐς ἡμέας ἀφῖκται. τί δέ σε χρέος δεῦρ' ἤγαγεν ἑταῖρε; μᾶλλον δὲ πρὸ πάντων κάθησο. ὁρῇς δὲ ὡς ἔστιν οὗτος οὐκ ἀηδὴς φύλλων θῶκος, ἔτι χλωρὸς καὶ μαλθακὸς ἐγκαθίσαι, προσηνέστερος τῶν τῆς τύχης ἐπιφθόνων θώκων. καθίσαντος δέ μου, πάλιν φησίν. ἴδιον οὖν τι, ἢ ἐπιδήμιον διζήμενος πρῆγμα δεῦρο ἀφῖξαι; φράζε σαφέως. καὶ γὰρ ἡμεῖς ὅ,τι δυναίμεθα, συνεργοῖμεν ἄν. κἀγὼ, τὸ μὲν κατ' ἀληθείην ἔφην, ἕνεκεν σεῦ· δεῦρο γὰρ ἥκω σοὶ ξυντυχεῖν, ἀνδρὶ σοφῷ. ἔχει δὲ πρόφασιν ἡ πατρὶς, ἧς πρεσβείην τελῶ. ὁ δὲ, ξενίῃ τοίνυν, φησὶ, ταπρῶτα κέχρησο ἡμετέρῃ· πειρώμενος δὲ κἀγὼ κατὰ πάντα τἀνδρὸς, καί-

opinor, quod nomine me non ſalutaſſet: te verò, inquit, quo nomine vocabimus? Ignorantia enim nominis tui in cauſa erat, quod te hoſpitis nomine compellarem. Hippocrates, inquam, medicus mihi nomen eſt. Ille verò; Aſclepiadarum, inquit, nobilitas? Magna tua in arte medica ſapientiæ laus, quæ omnes terras pervagata eſt, ad nos quoque manavit. Sed quæ te, amice, neceſſitas huc adduxit? prius tamen ante omnia ſedeas. Vides autem, ut non inamœnus ſit hic foliorum acervus, viridis adhuc et mollis, cui inſideas; jucundior ſane fortunæ ſedibus, invidiæ obnoxiis. Poſtquam conſediſſem, iterum ille: Privatúmne ergo quoddam, an publicum negotium perſequens huc acceſſiſti? Loquere apertè: nos enim, quantum poſſimus, te juverimus. Et ego, id quod verum; tui cauſâ, inquam. huc enim venio, ut te, virum ſapientiſſimum, conveniam. Cauſam habet patria, cujus nomine legationem obeo. Tum ille; Noſtro igitur, inquit, primùm utere hoſpitio. Cumque omnibus modis mentem viri tentaſſem, quamvis

περ ἤδη μοι καταδήλου, μὴ παρακόπτειν, ἐόντος· φιλοποίημα οἶδα ἔφην, πολίτην ἐόντα ὑμέτερον; ὁ δὲ, καὶ μάλα, ἔφη, εἰ τὸν δάμωνος λέγεις υἱὸν, τὸν οἰκέοντα παρὰ τὴν ἑρμαΐδα κρήνην. τοῦτον εἶπον, οὗ καὶ ὢν τυγχάνω ἐκ πατέρων ἴδιος ξεῖνος. ἀλλὰ σὺ, δημόκριτε, τῇ κρέσσονι με ξενίῃ δέχευ. καὶ πρῶτόν γε, τί τοῦτο ὃ γράφων τυγχάνεις φράζε; ὁ δ' ἐπισχὼν ὀλίγον, περὶ μανίης, ἔφη. κἀγὼ, ὦ ζεῦ βασιλεῦ, φημι, εὐκαίρως γε ἀντιγράφεις πρὸς τὴν πόλιν. ὁ δὲ, ποίην, φησὶ, πόλιν ἱπποκράτες; ἐγὼ δὲ, οὐδὲν, ἔφην, ὦ δημόκριτε· ἀλλ' οὐκ οἶδ' ὅπως προὔπεσεν. ἀλλὰ τί περὶ μανίης γράφεις; τί γὰρ, εἶπεν, ἄλλο, ἢ τίς πέλει, καὶ ὅκως ἀνθρώποισιν ἐγγίνεται, καὶ τίνα τρόπον ἀπολωφέοιτο. τὰ γὰρ ζῶα ταῦτα, ἔφη, ὁκόσα ὁρῇς, τουτέου μέν τοι γε ἕνεκα ἀνατέμνω, οὐ μισέων θεοῦ ἔργα· χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν. οἶδα γὰρ ἀνθρώπων παρακοπῆς ὡς αἰτίην ἐπιπολὺ αὕτη πλεονάσασα. ἐπεὶ πᾶσι μὲν φύσει ἐνυπάρχει· ἀλλὰ παρ' οἷς μὲν ἐλάσσων, παρ'

jam manifestum esset, non insanire ipsum; Philopœmenem, inquam, nôsti, civem vestrum? Et maximè verò, inquit, novi, si Damonis filium dicis, qui prope Mercurialem fontem habitat. Ipsum illum, inquam, cujus peculiari inde à parentibus hospitio utor. Tu verò, Democrite, meliori me hospitio excipe. Et primùm quidem, quidnam illud quod scribis, edissere. Tum ille, cum paulum substitisset; De Insania, inquit. Ego autem, ô rex Jupiter, inquam, oportunè adversus urbem scribis. Atque ille, quam, inquit, urbem Hippocrates? Ego verò, nihil inquam, ô Democrite: sed nescio quomodo id exciderit. Sed quid de insania scribis? Quid verò, inquit, aliud, quàm quænam sit, & quomodo homines invadat, & quemadmodum desinat. Hæc enim, inquit, quæ vides animalia, hac sane de causa disseco: non quod Dei opera oderim; sed quod bilis naturam indagem ac situm. Nôsti enim hanc plerumque, si abundet, insaniæ causam hominibus esse; cum omnibus naturâ insit: sed minore aliis copia, aliis

ὅις δέ τισι πλείων. ἡ δ' ἀμελείη αὐτέης, νοῦσοι τυγχάνουσιν, ὡς ὕλης, ὁτὲ μὲν ἀγαθῆς, ὁτὲ δὲ φαύλης ὑποκειμένης. κἀγὼ, νὴ δί', ἔφην, ὦ δημόκριτε, ἀληθέως τε καὶ φρονίμως λέγεις. ὅθεν εὐδαίμονά σε κρίνω, τοσαύτης ἀπολαύοντα ἡσυχίης. ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτραπται. ἐρεομένου δὲ, διατί, ὦ ἱππόκρατες, οὐκ ἐπιτέτραπται; ὅτι, ἔφην, ἢ ἀγροὶ, ἢ οἰκίη, ἢ τέκνα, ἢ δάνεια, ἢ νοῦσοι, ἢ θάνατοι, ἢ δμῶες, ἢ γάμοι, ἢ τοιαῦτά τινα τὴν εὐκαιρίην ἡμῶν ὑποτέμνεται. ἐνταῦθα δὴ ὁ ἀνὴρ εἰς τὸ εἰωθὸς πάθος κατηνέχθη. καὶ μάλα ἀθρόον τι ἀνεκάγχασε, καὶ ἐπετώθασε. καὶ τὸ λοιπὸν ἡσυχίην ἦγε. κἀγὼ, τί μέντοι, ἔφην, ὦ δημόκριτε, καταγελᾷς; πότερον τὰ ἀγαθὰ, ὧν εἶπον, ἢ τὰ κακά; ὁ δὲ ἔτι μᾶλλον ἐγέλα. καὶ ἄπωθεν ὁρεῦντες οἱ ἀβδηρῖται, οἱ μὲν τὰς κεφαλὰς αὐτῶν ἔπαιον· οἱ δὲ, τὰ μέτωπα· οἱ δὲ, τὰς τρίχας ἔτιλλον. καὶ γὰρ, ὡς ὕστερον ἔφασαν, πλεονάζοντι παρὰ τὸ εἰωθὸς τῷ γέλωτι ἐχρήσατο. ὑποτυχὼν δ' ἐγὼ, ἀλλὰ μὴν, ἔφην,

majore. Immodica autem ipsius copia morbos efficit, quod quasi subjacens materia sit, jam bona, jam mala. Et ego, Per Jovem, inquam, Democrite, verè ac sapienter disseris. unde beatum te judico, qui tanto otio fruaris; cujus nos participes fieri non conceditur. Atque illo interrogante; Cur, Hippocrates, non conceditur? Quod, inquam, aut agri, aut res domesticæ, aut liberi, aut æs alienum, aut morbi, aut mortes, aut servi, aut nuptiæ, aut ejusmodi alia opportunitatem nobis adimunt. Ibi verò vir ille ad consuetum animi adfectum delatus, vehementem cachinnum sustulit, meque derisit. Deinde rursus quievit. Et ego; Quid ita, inquam, Democrite, derides? Utrum bona, quæ dixi, an mala? Is autem magis adhuc ridebat. Abderitæ autem eminus hæc videntes, alii caput percutiebant; alii faciem; nonnulli capillos evellebant. Etenim, ut deinde narrabant, risu multò solutiore quàm solebat tunc usus fuerat. Ego autem occurrens; Enimvero, inquam,

σοφῶν ἄριστε δημόκριτε, ποθέω γὰρ αἰτίην τοῦ περὶ σὲ πάθεος καταλαβέσθαι, τίνος ἄξιος ἐφάνην ἐγὼ γέλωτος, ἢ τὰ λεχθέντα. ὅκως μαθὼν παύσωμαι τῆς αἰτίης· ἢ σὺ ἐλεγχθεὶς, διακρούσῃ σοῦ ἀκαίρους γέλωτας. ὁ δὲ, ἡράκλεις, ἔφη, εἰ γὰρ δυνήσῃ με ἐλέγξαι, θεραπείην θεραπεύσεις, οἵην οὐδένα πώποτε, ὦ ἱππόκρατες. καὶ πῶς οὐκ ἐλεγχθείης, ἔφην, ὦ ἄριστε. ἢ οὐκ οἴῃ ἄτοπός γε εἶναι γελῶν θάνατον ἀνθρώπου, ἢ νοῦσον, ἢ παρακοπὴν, ἢ μανίην, ἢ μελαγχολίην, ἢ σφαγὴν, ἢ ἄλλό τι χέρειον; ἢ τοὔμπαλιν γάμους, ἢ πανηγύριας, ἢ τεκνογονίην, ἢ μυστήρια, ἢ ἀρχὰς, ἢ τιμὰς, ἢ ἄλλό τι ὅλως ἀγαθόν; καὶ γὰρ ἃ δέον οἰκτείρειν, γελᾷς, καὶ ἐφ' οἷς ἥδεσθαι χρὴ, καταγελᾷς τουτέων. ὥς τε μήτε ἀγαθὸν, μήτε κακὸν παρὰ σοὶ διακεκρίσθαι. ὁ δὲ, ταῦτα μὲν, ἔφη, εὖ λέγεις, ὦ ἱππόκρατες. ἀλλ' οὐκ οἶσθα πω τοῦ ἡμετέρου γέλωτος αἰτίην· μαθὼν δ', εὖ οἶδ',

ſapientum præſtantiſſime, Democrite, hujus animi tui adfectus cauſam percipere cupiam, qua de cauſa ego, aut quæ dixi, riſu digna tibi viſa fuerint: ut intellectâ cauſâ aut ego loqui deſinam; aut tu reprehenſus intempeſtivos riſus miſſos facias. Tum ille; Hercule, inquit, ſi me reprehendere poſſis, curationem adhibueris, qualem nunquam aliàs, ô Hippocrates. Et quomodo, inquam, non reprehendaris, vir optime. An non putas abſurde facere, cum hominis mortem rides, aut morbum, aut inſaniam, aut furorem, aut atram bilem, aut cædem, aut aliud quid his pejus? vel e diverſo, nuptias, aut celebres conventus, aut liberorum procreationem, aut myſteria, aut magiſtratus, aut honores, aut aliud quidpiam omnino bonum? Etenim quæ miſerari oportebat, rides; quæque gaudio proſequenda erant, cachinno excipis: adeo ut nec boni, nec mali, diſcrimen ullum apud te ſtatuatur. Atque ille; Hæc quidem, inquit, rectè dicis, ô Hippocrates; ſed riſus noſtri cauſam ignoras. quam ubi intellexeris, ſat ſcio, te, melioribus

ὅτι κρέσσονα τῆς πρεσβείης ἀντιφορτισάμενος, ἀ-
ποίσεις θεραπείην τὸν ἐμὸν γέλωτα τῇ πατρίδι,
καὶ ἑωυτέῳ· καὶ σὺ ἄλλους δυνήσῃ σωφρονίζειν.
ἀνθ' ὧν ἴσως κἀμὲ διδάξεις ἰητρικὴν ἀμοιβηδόν.
γνοὺς ὅσῃ σπουδῇ, περὶ τὰ ἀσπούδαστα, φιλοτι-
μεύμενοι πρήσσειν τὰ μηδενὸς ἄξια, πάντες ἄν-
θρωποι τὸν βίον ἀχρήστως ἀναλίσκουσι, γελώτων ἄ-
ξια ἐνοικεῦντες. ἐγὼ δέ φημι, λέγε πρὸς θεῶν,
μήποτε γὰρ διαλανθάνει νοσέων πᾶς ὁ κόσμος, καὶ
οὐκ ἔχει ὅκου διαπέμψηται πρεσβείην πρὸς θερα-
πείην; τί γὰρ ἂν εἴη ἔξω αὐτέου; ὁ δὲ, ὑπολαβὼν,
πολλαί γε, φησιν, ἀπειρίαι κόσμων εἰσὶν, ὦ Ἱπ-
πόκρατες. καὶ μηδαμῶς ἑταῖρε κατασμικρολόγει
πλουσίην τὴν φύσιν ἐοῦσαν. ἀλλὰ ταῦτα μὲν,
ἔφην, ὦ Δημόκριτε, διδάξεις ἐν ἰδίῳ καιρῷ. εὐ-
λαβέομαι γὰρ μή πως καὶ τὴν ἀπειρίην διεξιὼν,
γελᾶν ἄρξῃ. ἴσθι τοίνυν περὶ τοῦ σοῦ γέλωτος τῷ
βίῳ λόγον δώσων. ὁ δὲ μάλα τρηχὺ ἀπιδών με·
δύο, φησὶ, τοὐμοῦ γέλωτος αἰτίας δοκέεις, ἀγα-
θὰ καὶ φαῦλα. ἐγὼ δὲ ἕνα γελῶ τὸν ἄνθρωπον·

onuſtum, quàm legatione tuâ adtuleris, curationem reportaturum riſum meum patriæ ac tibi, qua & alios ſapientes reddere poſſis: pro quibus fortaſſe me viciſſim artem medicam edocebis: ubi nempe cognoveris, quanto ſtudio circa res viliſſimas, ac nullo ſtudio dignas ambitioſè occupati omnes homines vitam inutiliter conſumant, cachinnis digna agentes. Hic ego, Per deos, inquam, dic; numquid totus mundus ſe morbo laborare ignorat? aut, quò legationem mittat ad medicinam arceſſendam, non habet? Quid enim extra ipſum eſſe poſſit? Ille autem excipiens; Multæ, inquit, ſunt mundorum infinitates, ô Hippocrates. & nequaquam, ô amice, frigidis quibusdam ratiunculis negare velis naturam eſſe divitem. At hæc quidem, inquam, Democrite, ſuo tempore docebis. Vereor enim, ne quoque, de infinitate diſſerens, ridere incipias. Scias verò, de riſu tuo te vitæ rationem daturum. Ille autem torvis admodum oculis me intuitus; Duas, inquit, riſus mei cauſas rére, bona ac mala: at unum ego rideo hominem,

ἀνοίης μὲν γέμοντα, κενεὸν δὲ πρηγμάτων ὀρθῶν, πάσῃσιν ἐπιβολῇσι νηπιάζοντα, καὶ μηδεμιῆς εἵνεκεν ὠφελείης ἀνύοντα τοὺς ἀνηνύτους μόχθους. πείρατα γῆς, καὶ ἀορίστους μυχοὺς ἀμετρίῃσιν ἐπιθυμίῃσιν ὁδεύοντα. ἄργυρον τήκοντα καὶ χρυσόν· καὶ μὴ παυόμενον τῆς κτήσιος ταύτης· αἰεὶ δὲ θορυβεύμενον περὶ τὸ πλέον, ὅκως αὐτὸς ἐλάσσων μὴ γένηται. καὶ οὐδὲν αἰσχύνεται λεγόμενος εὐδαίμων. ὅτι χάσματα γῆς ὀρύσσει δεσμίων χερσίν. ὧν οἱ μὲν ἐπὶ ῥομφῆς ἐπιπτώσης τῆς γῆς ἐφθάρησαν· οἱ δὲ πολυχρονίως ταύτην ἔχοντες τὴν ἀνάγκην, ὡς ἐν πατρίδι τῇ κολάσει καταμένουσιν, ἄργυρον καὶ χρυσὸν μαστεύοντες, ἴχνη κόνιος καὶ ψήγματα ἐρευνῶντες. ψάμμον ἄλλην ἀλλαχόθεν ἀγείροντες, καὶ τῆς γῆς φλέβας ἐκτέμνοντες, ἐς περιουσίην αἰεὶ βωλοποιέοντες ἐκ γῆς μητρός. τὴν δὲ μίην γῆν καὶ τὴν αὐτὴν ἐοῦσαν θαυμάζοντες πατοῦσιν. ὅσος γέλως; ἐπιμόχθου καὶ κρυφίης γῆς ἐρῶσι, τὴν φανερὴν ὑβρίζοντες. κύνας ὠνεῦνται· οἱ δ᾽ ἵππους. οἱ δὲ χώρην πολλὴν

dementiâ plenum; at rectis actionibus vacuum, in omnibus institutis pueri instar se gerentem, nulliusque utilitatis causâ irritos labores tolerantem: terræ terminos, & infinitos recessus immensis desideriis peragrantem: argentum & aurum liquefacientem, & ab his adquirendis nunquam cessantem: semper autem ob majora tumultuantem, ne ipse minor existat. Nihil erubescentem si beatus prædicetur, quod terræ hiatus, vinctorum manibus fodiendo, faciat; quorum alii laxâ terrâ concidente perierunt; alii longo tempore hac necessitate compulsi, in illo supplicio, tanquam in patria, permanent, argentum & aurum conquirentes; vestigia pulveris, & auri argentique ramenta vestigantes: arenam aliam aliunde colligentes, terræque venas exscindentes: ut opibus abundent, ex terra matre semper massas facientes. Unam eandemque terram admirantes, conculcant. Quanto risu hæc sunt excipienda? Calamitosam & occultam terram amant, manifestam contumeliâ adficientes. Canes emunt alii; alii equos. Alii magnam regionem finibus

περιορίζοντες, ἰδίην ἐπιγράφουσι. καὶ πολλῶν ἐθέλοντες δεσπόζειν, οὐδὲ αὐτέων δύνανται. γαμεῖν σπεύδουσιν, ἃς μετ' ὀλίγον ἐκβάλλουσιν· ἐρῶσιν, εἶτα μισέουσι. μετ' ἐπιθυμίης γεννῶσιν, εἶτ' ἐκβάλλουσι τελείους. τίς ἡ κενὴ σπουδὴ καὶ ἀλόγιστος, μηδὲν μανίης διαφέρουσα; πολεμοῦσιν ἔμφυλον, ἠρεμίην οὐχ αἱρετίζοντες. ἀντενεδρεύουσι βασιλῆας, ἀνδροφονέουσι. γῆν ὀρύσσοντες, ἄργυρον ζητοῦσιν· ἄργυρον εὑρόντες, γῆν θέλουσι πρίασθαι. ὠνησάμενοι γῆν, καρποὺς πιπράσκουσι. καρποὺς ἀποδιδόμενοι, πάλιν ἀργύριον μεταλαμβάνουσιν. ἐν ὅσῃσι μεταβολῇσιν εἰσίν· ἐν ὅσῃ κακίῃ. οὐσίην μὴ ἔχοντες, οὐσίην ποθέουσιν· ἔχοντες, κρύπτουσιν, ἀφανίζουσι. γελῶ ἐφ' οἷσι κακοπραγέουσιν. ἐπιτείνω τὸν γέλωτα ἐφ' οἷς δυστυχέουσι. θεσμοὺς γὰρ ἀληθείης παραβεβήκασι. φιλονεικέοντες ἔχθρη πρὸς ἀλλήλους, δίκην ἔχουσι μετ' ἀδελφεῶν, καὶ τοκήων, καὶ πολιτέων, καὶ ταῦτα ὑπὲρ τοιούτων κτημάτων, ὧν οὐδεὶς θανὼν δεσπό-

circumcirca includentes, sibi propriam inscribunt: cumque multis dominari velint, ne sibi quidem ipsis possunt. Uxores ducere festinant; quas paulò pòst ejiciunt. Amant; deinde oderunt. Cupidine ducti gignunt, postea expellunt adultos. Quod tandem hoc inane & absque ratione susceptum studium, ab insania nihil differens? Bellum intestinum gerunt, quietem non amplectentes. Reges alii aliis insidias struunt: homines occidunt. Terram fodientes argentum quærunt: argento invento terram emere volunt. Terrâ emtâ, fructus vendunt: fructibus traditis, argentum denique recipiunt. In quantis mutationibus versantur; quantisque vitiis! Cùm opes non habent, opes desiderant; at cum habent, illas abscondunt & occultant. Rideo sane ea, quorum causâ misere vivunt: intendo risum ob ea, quibus infelices existunt. Veritatis enim leges transgressi sunt. Contendendi studio hostiliter inter se dissidentes, lites exercent cum fratribus, & parentibus, ac civibus; idque propter hujusmodi possessiones, quarum nemo post mortem

της ἐστὶν, ἀλληλοκτονέουσιν ἄθεσμα, βίᾳ φονεύοντες. φίλων καὶ πατρίδων ἀπορίην ὑπερορῶσι. πλουτίζουσι τὰ ἀνάξια καὶ τὰ ἄψυχα. ὅλης τῆς οὐσίης ἀνδριάντα ὠνέονται, ὅτι δοκέει λαλεῖν τὸ ἄγαλμα· τοὺς δὲ ἀληθέως λαλέοντας, μισέουσι. τῶν γὰρ μὴ ῥηϊδίων ἐφίενται. καὶ γὰρ ἤπειρον οἰκεῦντες, θάλασσαν ποθέουσι· καὶ πάλιν ἐν νήσοισιν ἐόντες, ἠπείρων γλίχονται. καὶ πάντα διαστρέφουσιν ἐς ἰδίην ἐπιθυμίην. καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρείην ἐπαινέσαι· νικῶνται δὲ καθ' ἡμέρην ὑπὸ τῆς ἀσελγείης, ὑπὸ φιλαργυρίης, ὑπὸ τῶν παθέων πάντων, ἃ νοσέουσι. Θερσῖται δ' εἰσὶ τοῦ βίου πάντες. τί δὲ τὸν ἐμὸν, ἱπποκράτες, ἐμέμψω γέλωτα; οὐ γὰρ αὐτοὶ τῆς ἰδίης ἀνοίης, ἀλλ' ἄλλος ἄλλου καταγελῆτε. οἱ μὲν, τῶν μεθυόντων, ὅταν αὐτοὶ δοκέωσι νήφειν· οἱ δὲ, τῶν ἐρώντων, χαλεπωτέρην νόσον νοσεῦντες αὐτοί· οἱ δὲ, τῶν πλεόντων· ἄλλοι δὲ, τῶν περὶ γεωργίην ἀσχοληθέντων. οὐ συμφωνέουσι γὰρ, οὔτε ταῖς τέχναισιν, οὔτε τοῖς ἔργοισιν. ἐγὼ δὲ, ταῦτα μὲν, ἔφην, κρήγυα,

dominus existit: nefarie se mutuo jugulant, violenter occidentes. Amicorum, ac patriæ quisque suæ penuriam despicientes, indigna & inanimata ditant. Universis opibus statuam emunt, quod simulacrum loqui videatur: eos autem qui verè loquuntur, odio habent. Porro res haud faciles expetunt. Nam continentem habitantes, mare desiderant: & rursus, qui in insulis sunt, continentem cupiunt, omniaque ad suam libidinem pervertunt. Atque in bello quidem fortitudinem laudare videntur; indies autem vincuntur à luxuria, ab avaritia, ab omnibus animi morbis, quibus laborant. adeoque Thersitæ vitæ sunt omnes. Quid verò meum risum, Hippocrates, reprehendisti? Non enim ipsi, suam quisque, sed alter alterius, dementiam deridetis: alii, ebriorum, quando ipsi sibi sobrii videntur: alii, amantium, cum difficiliori ipsi morbo laborant: alii, navigantium: alii, eorum, qui circa agriculturam occupati sunt. idque, quod nec artibus, nec operibus consonent. Tum ego; Hæc quidem, inquam, vera sunt,

δημόκριτε. οὐδ' ἄλλός τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλειν ταλαιπωρίην θνητῶν. ἀλλ' αἱ πρήξιες νομοθετέουσι τὴν ἀναγκαίην, οἰκονομίης τε εἵνεκα, καὶ ναυπηγίης, καὶ τῆς ἑτέρης πολιτείης, ἐν ᾗ χρεὼν εἶναι τὸν ἄνθρωπον. οὐ γὰρ εἰς ἀργίην αὐτὸν ἡ φύσις ἐγέννα. ἐκ τουτέων δὲ πάλιν φιλοδοξίη χυθεῖσα ἔσφηλε πολλῶν ὀρθογνώμονα ψυχήν. σπουδαζόντων μὲν ἅπαντα ὡς ἐπ' ἀδιαπτωσίην· μηκέτ' οὐ τονεόντων δὲ τὴν ἀδηλότητα προορῆσαι. τοῦ γάρ τις, ὦ δημόκριτε, γαμέων, ἢ χωρισμὸν, ἢ θάνατον προσεδόκησε; τίς δ' ὁμοίως παιδοτροφέων, ἀπώλειαν; ἀλλ' οὐδ' ἐν γεωργίῃ, καὶ πλόῳ, καὶ ναυτιλίῃ, καὶ βασιλείῃ, καὶ ἡγεμονίῃ, καὶ πάνθ' ὅσ' ὑπάρχει κατὰ τὸν αἰῶνα. οὐδεὶς γὰρ προέλαβεν πταῖσαι· ἀλλ' ἀγαθῇσιν ἕκαστος τουτέων ἐλπίσι φέρβεται. τῶν δέ γε χερειόνων οὐδὲ μέμνηται. μήποτ' οὖν ὁ σὸς γέλως τουτέοις ἀνάρμοστος; ὁ δὲ δημόκριτος, μάλα, ἔφη, νωθὴς τὸν νόον ὑπάρχεις, καὶ μακρὰν γε τῆς ἐμῆς γνώμης ἀπόδημος, ἱππό-

Democrite: neque convenientiori oratione miſeria mortalium enuntiari poſſit. Verumenimverò ipſæ actiones neceſſitatem ſanciunt, ob rem domeſticam, & navium fabricationem, & reliquam reipublicæ adminiſtrationem, in qua verſari hominem oportet. Neque enim ad deſidiam eum natura procreavit. Ex his rurſus latè ſparſa ambitio multorum rectè ſentientem animum decepit; qui ad lapſu carentem ſtatum pervenire ſtudent, nequaquam verò incertitudinem ſatis acute proſpicere poſſunt. Quis enim, quæſo, Democrite, uxorem ducens, divortium, aut mortem exſpectavit? Quis itidem liberos educans, interitum? Sed neque in agricultura, & navigatione, & regno, & magiſtratu, iiſque omnibus quæ in vita exiſtunt, adverſa aliquis prævidit. Neque enim ſe lapſurum quiſquam præſumſit: ſed ſpes bonas unusquisque alit, deteriora verò ne quidem in memoriam revocat. Num igitur tuus riſus his minime convenit? Tum ille; Tardo, inquit, es admodum ingenio, Hippo-

κρίνες, ἀταραχίης καὶ ταραχῆς μέτρα μὴ ἐπισκοπέων δι' ἀγνοίην. ταῦτα γὰρ αὐτὰ διανοίῃ φρενήρεϊ διοικέοντες, αὐτοί τε ῥηϊδίως ἀπήλλασσον, καὶ τὸν ἐμὸν ἐλώφεον γέλωτα· νῦν δ' ὡς ἐπ' ἀρηρόσι τούτοισιν ἐν τῷ βίῳ φρενοβλαβέες τελύφωνται, ἀσυλλογίστῳ διανοίῃ τῆς ἀτάκτου φορῆς δυσδίδακτοι. νουθεσίη γὰρ αὐτάρκης ὑπῆρχεν, ἡ τῶν ξυμπάντων μεταβολὴ, ὀξείῃσι τροπῇσιν ἐμπίπλουσα αἰφνίδιον, τροχηλασίην παντοίην ἑλίσσουσα. οἱ δ' ὡς ἐπ' ἀρηρύῃ καὶ βεβαίῃ, ἐκλελησμένοι παθέων κατὰ τὸ ξυνεχὲς ἐμπιπτόντων, ἄλλοτε ἄλλως ποθεῦντες τὰ λυπέοντα, διζήμενοι τὰ μὴ ξυμφέροντα, ἐγκαλινδεῦνται πολλῇσι ξυμφορῇσιν. εἰ δ' ἐμερμήριζε κατὰ δύναμιν ἰδίην, τὰ ξύμπαντα ἔρδειν, ἀδιάπτωτον ἐφρούρεε ζωὴν, ἑωυτὸν ἐξεπιστάμενος, καὶ ξύγκρισιν ἰδίην σαφέως κατανοήσας, καὶ μὴ τῆς ἐπιθυμίης τὴν σπουδὴν ἀόριστον ἐκτείνων. τὴν δὲ πλουσίην φύσιν, καὶ πάντων πιθηνὸν, δι' αὐ-

crates, & procul à mea ſententia peregrinaris, dum tranquillitatis & perturbationis modos per ignorantiam non inſpicis. Qui enim hæc ipſa prudenti mente diſponunt, illi & facile liberantur, & riſum meum enervant: nunc autem his, tanquam firma junctura coaptatis, in vita, mente capti ſuperbiunt; dum rationis experte mente impediti, inordinatum motum difficulter doceri poſſunt. Sufficiens enim admonitio foret, rerum omnium commutatio, quæ ſummis converſionibus ſubitò incidens, variis modis quaſi rotans omnia circumagit. Illi verò tanquam firma compage ſtantibus rebus, obliti caſuum continenter incidentium, variis temporibus varie deſiderantes ea quæ triſtitiam adferunt, &, quæ nihil proſunt, quærentes, multis calamitatibus involvuntur. Quod ſi quis omnia pro viribus ſuis facere ſolicitus eſſet, vitam nullis caſibus obnoxiam ſervaret, ſe ipſe probe noſcens; & ſuam ipſius concretionem aperte intelligens; nec cupiditatis ſtudium infinitum extendens: ſed per divitem naturam, omniumque altricem, animo contento

ταρχείης ὁδοιπορέων. καθάπερ δὲ τῶν παθέων διέξιν κίνδυνος πρόδηλος, οὕτω τὸ μέγεθος τῶν δυστυχημάτων σφαλερόν ἐστιν. ἀείσημοι δ' ἐν τῇσι κακοδαιμονίῃσι ξυνθεωρεῦνται. ἄλλοι δὲ τὰ τῶν πέλας μηδὲν ἱστορέοντες, ὑπὸ τῆς ἰδίης κακοπραγίης ἀπώλοντο, τὰ δῆλα καθάπερ ἄδηλα μὴ προθεωρεῦντες, ὑπόδειγμα τὸν μακρὸν βίον ἔχοντες, γενομένων καὶ μὴ γενομένων. ἐξ ὧν καὶ τὸ ἐσόμενον ἐχρῆν καταvοῆσαι. ταῦθ' ὁ ἐμὸς γέλως· ἄφρενες ἄνθρωποι, πονηρίης δίκας ἐκτίνοντες, φιλαργυρίης, ἀπληστίης, ἔχθρης, ἐνεδρίης, ἐπιβουλίης, βασκανίης. ἀργαλέον ἐξειπεῖν πολυμηχανίην κακῶν. ἀπειρίη γάρ τις ἐστὶ κἀν τοῖς. δολοπλοκίῃσιν ἀνθαμιλλέονται σκολιόφρενες· ἀρετῆς δὲ παρ' αὐτέοις τρόπος ἐστὶ τὸ χέρειον. φιλοψευδίην γὰρ ἀσκέουσι. φιληδονίην κοσμέουσι, νόμοισιν ἀπειθεῦντες. ὁ δὲ αὐτέων κατακρίνει τὴν ἀπροαιρεσίην, μήτε ὁρήσιος, μήτε ἀκοῆς

incedens. Quemadmodum autem in optimo corporis habitu adfectionum periculum manifestum eſt; ſic proſperarum rerum magnitudo lubrica exiſtit. Inſignes autem viri in rebus adverſis conſpiciuntur. Alii autem proximorum res plane ignorantes, pravis ſuis actionibus pereunt; dum certa tanquam incerta non proſpiciunt, qvamvis longam vitam in exemplum habeant eorum quæ facta, aut non facta ſint, ex quibus etiam futurum proſpicere oporteret. Hæc ſunt quæ rideo; imprudentes homines, improbitatis pœnas dantes, avaritiæ, inexplebilis cupiditatis, inimicitiæ, inſidiarum, ſubdolorum conſiliorum, invidentiæ. Difficile eſt variam malorum machinationem verbis exprimere: quippe & in his quædam eſt infinitas. Doloſis commentis inter ſe litigant, perplexa ſapientes; virtutis autem apud eos modus peſſimo loco eſt. Mendacia enim amantes, in iis ſe exercent. Voluptatis ſtudium ornant, legibus non parentes. Hic autem meus riſus, quæ ab iis nullo conſilio propoſito fiunt, condemnat, cùm neque viſûs, neque auditûs ſint

μετέχοντας. μούνη δ' αἴσθησις ἀνθρώπου ἀτρεκὴς διανοίης τηλαυγοῦς, τό,τε ἐὸν, καὶ τὸ ἐσόμενον προορεομένη. δυσαρεστεῦνται πᾶσι, καὶ πάλιν τοῖσιν αὐτοῖσιν ἐμπελάζονται. ἀρνησάμενοι πλόον, πλέουσι. γεωργίην ἀπωσάμενοι, αὖθις γεωργοῦσιν. ἐκβάλλοντες γαμετὴν, ἑτέρην εἰσάγονται. γεννήσαντες, ἔθαψαν. θάψαντες, ἐγέννησαν, πάλιν τρέφουσι. γῆρας ηὔξαντο· ἐς αὐτὸ δ' ἀφικόμενοι στενάζουσιν, ἐν οὐδεμιῇ καταστάσι βεβαίαν ἔχοντες τὴν γνώμην. ἡγεμόνες καὶ βασιλέες μακαρίζουσι τὸν ἰδιώτην· ὁ δὲ ἰδιώτης ὀρέγεται βασιλείης. ὁ πολιτευόμενος τὸν χειροτεχνεῦντα, ὡς ἀκίνδυνον· ὁ δὲ χειροτέχνης ἐκεῖνον, ὡς εὐτονεῦντα κατὰ πάντων. τὴν γὰρ ὀρθὴν κέλευθον τῆς ἀρετῆς οὐ θεωρέουσι καθαρὴν, καὶ λείην, καὶ ἀπρόσπταιστον, εἰς ἣν οὐδεὶς τετόλμηκεν ἐμβαίνειν. φέρονται δὲ ἐπὶ τὴν ἐναντίην, καὶ σκολιὴν, στενοχωρεῦντες, καὶ καταφερόμενοι, καὶ προσκόπτοντες· οἱ δὲ πλεῖστοι ἐκπίπτοντες. ἀσθμαίνοντες ὡς διωκόμενοι, ἐρίζοντες, ἱστορεῦντες,

participes. At verò ſolus ſenſus hominis eſt accurata mentis perſpicuitas, quæ & præſens, & futurum prævidet. Modo omnia ipſis displicent; deinde ad eadem rurſus animum adjungunt: cum ſe navigaturos negarunt, navigant: agricultura rejectâ, rurſus agros colunt: repudiatâ uxore, aliam domum ducunt: ſuſceptos liberos ſepeliunt; & his ſepultis alios procreant, & rurſus educant: ſenectutem exoptant; cumque eo pervenére, gemunt; in nullo ſtatu certa ſententia perſiſtentes. Duces ac reges privatum beatum prædicant: privatus autem regium imperium adfectat. Qui rempublicam regit, artificem, ut periculi expertem, felicem cenſet; artifex verò illum, ut qui potentiam in omnes exerceat. Rectam enim virtutis viam, puram, ac planam, & inoffenſam non cernunt, quam nullus ingredi audet: per contrariam autem, & tortuoſam feruntur; cumque per aſpera incedant, jam deferuntur, jam offendunt, plerique etiam decidunt; velut ſi quis perſequeretur, anhelantes: ſive ſequantur, ſive præcedant,

περιηγεύμενοι. καὶ τοὺς μὲν αὐτέων ἔρωτες ἀτάσθαλοι ὑποπεπρήκασιν, ἀλλοτρίης φθορῆς εὐνῆς, ἀναιδείῃ πσύνους. τοὺς δὲ τήκει φιλαργυρίης νοῦσος ἀόριστος. οἱ δ' ἀλλήλοισιν ἀντεπιτίθενται. οἱ δ' ὑπὸ φιλοδοξίης εἰς ἠέρα ἀνενεχθέντες, βρίθει κακίης, εἰς βυθὸν ἀπωλείης καταφέρονται. κατασκάπτουσιν, εἶτα ἐποικοδομοῦσι. χαρίζονται, εἶτα μετανοοῦσι, καὶ ἀφαιρεῦνται τὰ φιλίης δίκαια, κακοπραγγεῦντες εἰς ἔχθρην, τὰ ξυγγενίης πολεμοποιεῦντες. καὶ τουτέων πάντων αἰτίη ἡ φιλαργυρίη. τί νηπίων ἀθυρόντων διαφέρουσι; παρ' οἷσιν ἄκριτος μὲν ἡ γνώμη· τὸ δὲ προσπεσὸν, τερπνόν. ἐν δὲ τοῖσι θυμοῖς, τί πλεῖστον ζώοις ἀλόγοισι παραλελοίπασι; πλὴν ὅτι ἐν αὐταρκείῃ μένουσιν οἱ θῆρες. τίς γὰρ λέων ἐς γῆν κατέκρυψε χρυσόν; τίς ταῦρος πλεονεξίην ἐνορύξατο; τίς πάρδαλις ἀπληστίην κεχώρηκε; διψῇ μὲν ἄγριος σῦς ὅσον ὕδατος κορεσθῇ· λύκος δὲ, δαρδάψας τὸ προσπεσὸν τῆς ἀναγκαίης τροφῆς, ἀναπέπαυται. ἡμέρῃσι δὲ καὶ νυξὶ ξυναπτομένῃσιν οὐκ ἔχει θοίνης κόρον

litigantes. Atque eorum alios, impudentia fretos, injusti amores incenderunt, alieni cubilis fures; alios infinitus avaritiæ morbus macerat. Alii sibi mutuò insidiantur. Alii ambitionis studio in aërem sublati, malitiæ gravitate, in exitii profundum præcipites deferuntur. Diruunt; deinde ædificant. Gratificantur; deinde pœnitentiâ ducti, amicitiæ jura tollunt. Male faciendo inimicitiam contrahentes, cognationis jura bello infestant. Atque horum omnium causa est avaritia. Quid à parvulis ludentibus illi differunt? quos, cum mens judicio careat, id quod fortè occurrit, delectat. Quod ad cupiditates attinet, quid ratione carentibus animantibus reliquī fecére? nisi quod in sufficientia feræ manent. Quis enim leo aurum in terra abscondidit? Quinam taurus plura habendi libidine pugnam suscepit? Quæ pardalis inexplebilem cupiditatem admisit? Sitit aper tantum aquæ, quo sitim levet. Et lupus, ubi devoravit, quodcunque necessarii alimenti oblatum fuerit, adquiescit. Homo autem, si vel dies noctibus jungantur, comessandi satietate

ἄνθρωπος. καὶ χρόνων μὲν ἐνιαυσίων τάξις, ὀχείης ἀλόγων τέρμα ἐστίν· ὁ δὲ τὸ διηνεκὲς οἰστρομανίην ἔχει τῆς ἀσελγείης, ἱππόκρατες. μὴ γελάσω τὸν κλαίοντα δι' ἔρωτα, ὅτι ξυμφερόντως ἀποκέκλεισται; μάλιστα δ' ἢν ῥιψοκίνδυνος ᾖ, καὶ φέρηται κατὰ κρημνῶν, ἢ βυθῶν πελάγευς, ἐπιτεινῶ τὸν γέλωτα; μὴ γελάσω τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα μεμφόμενον τῇ θαλάττῃ, ὅτι κατεβύθισεν αὐτὴν πλήρη; ἐγὼ μὲν οὐκ ἀξίως δοκέω γελῆν, ἐξευρεῖν δὲ κατ' αὐτέων ἤθελόν τι λυπηρόν. ἀλλ' οὐδὲ ἰητρεικὴν ὑπὲρ τουτέων ἐχρῆν εἶναι, μὴ τεχνωμένην παιώνια φάρμακα. ὁ σὸς πρόγονος ἀσκληπιὸς νουθεσίη σοὶ γενέσθω· σώζων ἀνθρώπους, κεραυνοῖσιν ἠυχαρίστηται. οὐχ ὁρῇς, ὅτι κἀγὼ τῆς κακίης μοῖρα εἰμί. μανίης διζήμενος αἰτίην, ζῶα κατακτείνω καὶ ἀνατέμνω. ἐχρῆν δὲ ἐξ ἀνθρώπων τὴν αἰτίην ἐρευνῆσαι. οὐχ ὁρῇς ὅτι καὶ ὁ κόσμος μισανθρωπίης πεπλήρωται; καὶ ἄπει-

non capitur. Et annuorum quidem temporum ordo brutis animantibus coitûs finem adfert: hic autem, ô Hippocrates, insano libidinis stimulo omni tempore concitatur. Annon ejulantem ob amorem, cum suo commodo exclusus est, derideam? maximè verò si quis periculorum temerarius contemtor per præcipitia, & alta maria feratur, nonne risum intendam? An non ridebo eum, qui cum navem nimiis oneribus prægravatam demersit, mare deinde incusat, quod eam plenam submerserit? Equidem immerito mihi ridere videor; verùm aliquid, quod ipsos angeret, excogitare vellem. Sed nec medicinam pro his esse oporteret, nec Pæonia medicamenta conficiendi scientiam. Progenitor ille tuus Æsculapius documento tibi sit, qui servans homines eam gratiam retulit, ut fulmine ictus concideret. Non vides me quoque hujus vitii participem esse, qui insaniæ causam quærens, animalia macto & disseco: ex hominibus autem causam scrutari oportebat. Nonne vides & mundum ipsum hominum odio repletum esse, infinitasque adver-

ἔρα καὶ αὐτέου πάθεα ξυνήθροισεν. ὅλος ἄνθρωπος ἐκ γενετῆς νοῦσός ἐστι. τρεφόμενος, ἄχρηστος, ἱκέτης βοηθείης. αὐξανόμενος, ἀτάσθαλος, ἄφρων, ἐνδεὴς παιδαγωγίης. θρασὺς, ἀκμάζων. παρακμάζων, οἰκτρός. τοὺς ἰδίους πόνους ἀλογιστίῃ γεωργήσας. ἐκ μητρῴων γὰρ λύθρων ἐξέθορε τοιοῦτος. διὰ τοῦτο οἱ μὲν θυμικοὶ, καὶ ὀργῆς ἀμέτρου γέμοντες, ἐν ξυμφορῇσι καὶ μάχῃσιν· οἱ δ' ἐπιθυμητικοὶ, ἐν φθορῇσι καὶ μοιχείῃσι, διὰ παντὸς. οἱ δ' ἐν μέθῃσιν. οἱ δ' ἐν ἐπιθυμίῃσι τῶν ἀλλοτρίων. οἱ δ' ἐν ἀπωλείῃσι τῶν σφετέρων. ὄφελον δύναμις ὑπῆρχε τὰς ἁπάντων οἰκήσιας ἀνακαλύψαντα μηδὲν ἀφεῖναι τῶν ἐντὸς παρακάλυμμα, εἶθ' οὕτως ὁρῇν τὰ πρησσόμενα ἔνδον. εἴδομεν ἂν οὓς μὲν, ἐσθίοντας· οὓς δὲ, ἐμέοντας· ἑτέρους δὲ, αἰκίῃσι στρεβλέοντας. τοὺς δὲ, φάρμακα κυκέοντας· τοὺς δὲ, ξυννοεῦντας ἐπιβουλήν· τοὺς δὲ, ψηφίζοντας. ἄλλους, χαίροντας· τοὺς δὲ, κλαίοντας. τοὺς δὲ, ἐπὶ κατηγορίην φίλων ξυγγράφοντας. τοὺς δὲ, διὰ φιλοδοξίην ἔκφρονας.

ſus ipſum adfectiones cumulaſſe. Totus homo à nativitate morbus eſt. Dum nutritur; inutilis, ſupplex auxilii implorator: dum adoleſcit; improbus, ac demens, inſtitutione puerili indigens: in ætatis vigore conſtitutus; audax: ætate marceſcens; miſerabilis, quod labores ſuos, tanquam agrum, nullo rationis ductu excoluerit. Talis enim ex materno cruore exiliit. Propterea alii, ad iraſcendum proni, & immodica ira referti, in calamitatibus & pugnis; alii, concupiſcentia ſtimulati, in ſtupris & adulteriis perpetuò verſantur: alii, in ebrietatibus: alii, in rerum alienarum cupiditatibus: alii, in rebus ſuis perdendis. Utinam fieri poſſet, ut quis detectis omnium habitationibus, nullo intus velamento relicto, ſic, quæ intus agerentur, inſpiceret! Hos quidem edere videret; illos verò, vomere: alios, verberibus torquere: alios venena miſcere: alios, inſidias ſtruere: alios, rationibus computandis occupari: atque hos, gaudere; illos, plorare: alios, amicorum accuſationem conſcribere: alios, gloriæ ſtudio deſipere.

καίτοι γε βαθύτεραι πρήξιες τῶν κατὰ ψυχὴν κευθομένων. καὶ τουτέων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ πρεσβῦται, αἰτεῦντες, ἀρνεύμενοι, πενόμενοι, περιουσιάζοντες, λιμῷ θλιβόμενοι. οἱ δὲ, ἀσωτίῃ βεβαρημένοι, ῥυπόωντες, δέσμιοι· οἱ δὲ, τρυφῇσι γαυριῶντες, τρέφοντες. ἄλλοι, σφάζοντες. ἄλλοι, θάπτοντες. ὑπερορέοντες ἃ ἔχουσι, πρὸς τὰς ἐλπιζομένας κτήσιας ὁρμώμενοι. οἱ μὲν, ἀναίσχυντοι· οἱ δὲ, φειδωλοί· οἱ δὲ ἄπληστοι. οἱ μὲν, φονεῦντες· οἱ δὲ, τυπτόμενοι· οἱ δὲ, ὑπερηφανεῦντες· οἱ δὲ, ἐπαιρόμενοι κενοδοξίῃ. καὶ οἱ μὲν ἵπποισι παρεστῶτες· οἱ δὲ, ἀνδράσιν· οἱ δὲ, κυσίν· οἱ δὲ, λίθοισιν ἢ ξύλοισιν· οἱ δὲ, χαλκῷ· οἱ δὲ, γραφῇσι. καὶ οἱ μὲν, πρεσβείῃσιν· οἱ δὲ, στρατηγίῃσιν. οἱ δὲ, ἱερωσύνῃσιν· οἱ δὲ, στεφανηφορίῃσιν. οἱ δὲ, ἔνοπλοι· οἱ δὲ, ἀποκτιννύμενοι· φέρονται δὲ τουτέων ἕκαστοι, οἱ μὲν, ἐπὶ ναυμαχίην· οἱ δὲ, ἐπὶ στρατηγίην· οἱ δὲ, ἐπ' ἀγροικίην. ἕτεροι δὲ, ἐπὶ φορτίδας νῆας. οἱ δὲ, ἐπ' ἀγορήν· οἱ δὲ, ἐπ' ἐκκλησίην· οἱ δὲ, ἐπὶ θέητρον· οἱ δὲ, ἐς φυγαδείην· ἄλλοι δὲ ἀλλαχόσε.

aliisque altiore mente repositis actionibus turbari. Atque in his quotquot juvenes, quotquot senes; deprehenderentur petentes, negantes, pauperes, opibus adfluentes, fame pressi. Hi luxu gravati, sordidi, vincti: illi, deliciis exultantes: alii, alentes; alii, jugulantes; alii, sepelientes: ea, quæ habent, despicientes; speratas possessiones captantes. Atque alii, impudentes; alii, parci; alii, inexplebiles: alii, interficientes; alii, verberibus adflicti: alii, superbientes; alii, inani gloria elati. Et hi quidem equis addicti sunt; illi hominibus; alii, canibus; alii, lapidibus aut lignis: alii, statuis ex ære; alii, picturis. Porro alii, legationibus: alii, imperatoriis artibus: alii, rebus sacris administrandis: alii triumphis agendis. Alii armati sunt; alii interficiuntur. Atque ex his omnibus alii ad pugnam navalem feruntur; alii, ad rem militarem; alii, ad agriculturam. Alii, ad onerarias naves: alii, ad forum; alii, ad conciones; alii, ad theatrum; alii, ad fugam: atque ad alia alii.

καὶ οἱ μὲν, ἐς φιληδονίην, καὶ ἡδυπαθείην, καὶ ἀκρασίην· οἱ δὲ, ἐς ὀργὴν, καὶ ῥαθυμίην. τὰς ἀναξίους οὖν καὶ δυστήνους σπουδὰς τοιαύτας ὀρεγοῦντες καὶ τοσαύτας, πῶς μὴ χλευάσωμεν τὸν τοιῆνδε ἀκρασίην ἔχοντα βίον αὐτέων; κάρτα γὰρ ἔλπομαι, μηδὲ τὴν σὴν ἰητρικὴν ἁνδάνειν αὐτέοισιν. δυσαρεστέονται γὰρ ὑπ᾽ ἀκρασίης ἅπασι. καὶ μανίην τὴν σοφίην νομίζουσιν. ἥπου γὰρ ὑπονοέω ὡς σαφῶς λωβᾶσθαί σου τὰ πολλὰ τῆς ἐπιστήμης, ἢ διὰ φθόνον, ἢ δι᾽ ἀχαριστίην. ὅι τε γὰρ νοσέοντες ἅμα τῷ σώζεσθαι, τὴν αἰτίην ἢ θεοῖσιν, ἢ τύχῃ προσνέμουσι. πολλοὶ δὲ τῇ ἰδίῃ φύσει προσάψαντες, ἐχθραίνουσι τὸν εὐεργετήσαντα, μικροῦ δεῖν προσαγανακτεῦντες, εἰ νομίζονται χρεωφειλέται. ὅι τε πολλοὶ τὸ τῆς ἀτεχνίης ἐφ᾽ ἑωυτέοις ἔχοντες, ἀιδρειές τ᾽ ἐόντες, ἐχθαίρουσι τὸ κρέσσον. ἐν ἀναισθήτοισι γάρ εἰσιν αἱ ψῆφοι. οὔτε δ᾽ οἱ πάσχοντες ξυνομολογέειν ἐθέλουσιν· οὔτε οἱ ὁμοτεχνέοντες, μαρτυρεῖν. φθόνος γὰρ ἐνίσταται. οὐκ ἄπειρος οὖν τῶν τοιουτέων λεχέων, ταῦτα σαφέως εἰδώς;

